1° Primo reducendo memorie excellentie supradicte, antiquas amicitias quibus bona memorie dominus Gualterius dux quondam [1] Athenarum comes Brene et Licij, ciuis Venetiarum, dum uiuebat olim ipsius Comitis nec non et alij predecessores sui fuerunt ducali dominio, et communi predicti, spetialiter ab antiquis temporibus colligati. Nec non detestabile crimen ac horribile factum, per quod prefatus dominus Gualterius dux fuit, prefato Ducatu, propria et paterna hereditate sua, nequiter spoliatus, per nefandam companiam Cathelanorum qui predictum Ducatum, contra Deum et justitiam occupauerunt, et adhuc detinent occupatum, patre eiusdem domini Ducis, per eos crudeliter interfecto, propter que, Sancta Sedes Apostolica, certos solemnes et justos processos tempore felicis recordationis Domini Pape Johannis XXII, fecit et publicauit, ac in ipsos occupationes et determinationes juridicas, excomunis et interdicti, sententias fulminauit, quibus ipsi detentores per multa tempora subiecerunt et adhuc subiacent, in suarum animarum pernitiem, et in suis iniquitatibus obdurati; quamvis aliquando, alique predictarum sententiarum, fuerint per ipsam Sedem Apostolicam, sub spe correctionis, et emendationis ipsorum, ad aliqua tempora relaxata, prout hec omnia, excellentia vestra, et quam plures alii nobiles domini et cives Venetiarum, antiqui, ponierunt ueraciter scire, et audiuisse plenius quam scribatur. Supradictus, dominus Comes, ciuis uester, predecessorum suorum imitando uestigia, uoluntarius, dispositus et paratus semper

[1] Εἰς τὸ πρωτότυπον condam.

iuxta posse suum, ad honorem comodum et beneplacita, excellentie uestre, et communis predicti, et habens justam causam, a prefato quondam D. avunculo suo sicut scitur. Significat et exponit eidem dominationis uestre, quod ipse gratia diuina, sibi fauente, intendit cum adiutorio dominorum et amicorum suorum, et alio omni modo, et uia quibus efficatius poterit laborare et uacare, secundum quod iam incepit, ad recuperationen predicte hereditatis predecessorum suorum. Unde cum ipse confidat spetialiter de excellenti dominationi uestra, que semper fuit et est, tamquam mater, tutrix et conseruatrix totius iustitie, poscit et requirit reuerenter et instanter ab ipsa Comes et eiuis uester predictus, quatenus in subsidium et juuamentum, huis modi iuris sui, consideratis premissis omnibus, et alia circa hec maturius attendendis dominationis placeat, assistere fauoribus et auxiliis opportunis, per se et offitiales suos, in illis partibus, et aliis, eidem comiti tamquam ciui vestro et amico, circa factum recuperationis predicte. Et cum hoc petit reuerenter et specialiter infra scripta, Videlicet.

1° Primo, quod animalia predictorum inimicorum suorum de predicto ducatu, non admittantur neque receptentur ad earum tuitionem et saluamentum, contra ipsum comitem et gentes suas, intra vestram insulam Nigropontis.

Item quod... Dux Archipelagi, Lombardi et alii homines et subditi domini principis Dechaye, et alii de Ducatu predicto nati siue progeniti, qui moram trahunt, in terra uel insula et sub dominatione uestra Nigropontis uolentes accedere ad seruicia et juuamen, ac auxilium predicti Comitis, permittantur libere exire, et regredi, ciuitatem et insulam predictas, per pontem, quicumque eis placuerit, absque impedimento, offensa, uel prohibitione, bayli et aliorum offitialium uestrorum Nigropontis.

Item quod Baylo Nigropontis presenti et futuro, mandetur per excellentiam, supradictam, quod ipse Comes et gentes sue, pro ipso, possint cum eorum denariis habere, et extrahere, de ciuitate et insula memoratis, uictualia lignamina, ferrum, et alia quecumque eis necessaria aut etiam opportuna.

Item cum prefatus comes, habeat opus aliquorum nauilium pro suis seruiciis, petit et rogat attente quod eidem dominationis placeat sibi gratiose subuenire, de una de grossis galeis uestris, que solite erant nauigare in Flandriam, cum toto ipsius furnimento, per modum qui dicte dominationis placebit.

Et super predictis supplicant humiliter nuntij suprascripti, cum beneplacito uester, quamtocius comode fieri poterit expediri.

Nota quod supradicta capitula, et responsiones ad ipsa facte, misse fuerunt baiuli Nigropontis pro sua informatione.

M̊CCC̊LXX̊. Indict. VIIII. Die X° Februarij

Ser Marcus Contareno
Ser Andreas Marcello
Ser Symeon Michael
Sapientes Ordinum.

Capta

Quod ambaxatores domini Comitis Licij, petentibus ut interponamus nos, inter ipsum D. Comitem, et illos de la Compagna, super differentiis existentibus inter ipsos respondeatur: Quod optamus statum pacificum et tranquillum, ipsius Domini Comitis, et dispositi ei in hiis que honeste, possimus, amicabiliter complacere; mandabimus baiulo et capitaneo nostro Nigropontis, quod interponat se inter ipsum D. Comitem, et predictos de la Compagna, procurando et operando solicite omne id bono quod poterit cum honore nostro ut concordium sequatur inter partes predictas, et ex nunc sit captum quod sic mandetur baiulo et capitaneo nostro predicto.

De parte omnes.

ΣΠ. Μ. ΘΕΟΤΟΚΗΣ

Ο ΑΘΗΝΩΝ ΑΝΘΙΜΟΣ ΚΑΙ ΠΡΟΕΔΡΟΣ ΚΡΗΤΗΣ Ο ΟΜΟΛΟΓΗΤΗΣ

Ἐν τοῖς προηγουμένοις τόμοις τῆς Ἐπετηρίδος τῶν Βυζαντινῶν Σπουδῶν ἐξέδωκα τοὺς δύο ἀνεκδότους λόγους τοῦ Ἀνθίμου Ἀθηνῶν «Εἰς τὴν κατὰ σάρκα γέννησιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ»[1] καὶ «Περὶ τῶν τοῦ ἁγίου Πνεύματος προόδων»[2], ὡς καὶ τὴν ἀνέκδοτον ἐπιστολὴν αὐτοῦ πρὸς τὸν Ἰωσήφ[3], ὑποσχεθεὶς τὴν ἔκδοσιν τῶν λοιπῶν ἀνεκδότων ἔργων, τῶν εἰς αὐτὸν ἀναφερομένων, ὡς καὶ τὴν ἐπὶ τῇ βάσει τούτων ἐξακρίβωσιν τῶν ἀφορώντων εἰς τὸν βίον καὶ τὰ συγγράμματα αὐτοῦ.

Τὴν ὑπόσχεσιν ταύτην ἐκπληρῶν, ἐκδίδω ἐνταῦθα τὰ ὑπολειπόμενα δύο[4] ἔργα, τὰ ἀναφερόμενα εἰς αὐτόν, τοὺς δύο δηλαδὴ λόγους τοὺς φέροντας ἐπιγραφὰς «Λόγος ἕτερος, ὁπόταν ὁ μητροπολίτης Ἄνθιμος τῆς φρουρᾶς ἐξῆλθεν» καὶ «Λόγος εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν Ἄνθιμον τὸν ἀρχιεπίσκοπον Ἀθηνῶν, τὸν ὁμολογητὴν» προτάσσων αὐτῶν συντόμους τινὰς σημειώσεις περὶ τοῦ βίου καὶ τῶν ἔργων τοῦ Ἀνθίμου.

Ὁ πρῶτος τῶν λόγων τούτων περιέχεται ἐν τῷ ὑπ' ἀριθμὸν 30 (C. 3. 16) κώδικι τῆς ἐν Ῥώμῃ «Bibliotheca Angelica» καταλαμβάνων τὰ φύλλα 3[β] καὶ 4[α], ὁ δὲ δεύτερος ἐν τῷ ὑπ' ἀριθμὸν 243 κώδικι τῶν Παρισίων Coislin. καταλαμβάνων τὰ φύλλα 191[α] - 204[β].

Ὁ συγγραφεὺς τοῦ πρώτου λόγου δὲν μνημονεύεται[5], ὁ δὲ τοῦ δευτέρου

---

[1] Τόμ. Ζ' (1930) σ. 38 - 45.

[2] Τόμ. Η' (1931) σ. 30 - 41.

[3] Τόμ. Η' (1931) σ. 31.

[4] Ὁ ὑπὸ τοῦ Σάθα ἀναφερόμενος «Νεοφύτου Κεραμέως Λόγος εἰς Ἄνθιμον τὸν ὁμολογητήν», ὁ εὑρισκόμενος, κατ' αὐτόν, ἐν τῇ μεγίστῃ Λαύρᾳ τοῦ ἁγίου Ἀθανασίου τοῦ ἁγίου Ὄρους (Μεσ. Βιβλ. τόμ. Α' σ. 273) δὲν ὑπάρχει πλέον ἐν αὐτῇ, ὡς ἠδυνήθην νὰ ἐξακριβώσω.

[5] Ἐκ τοῦ περιεχομένου τοῦ λόγου τούτου καταφαίνεται ὅτι ὁ συγγραφεὺς αὐτοῦ εἶναι Κρὴς ἀνήκων εἰς τὸν ὑπὸ τὸν Ἄνθιμον ἐν Κρήτῃ κλῆρον καὶ στενῶς πρὸς αὐτὸν συνδεόμενος. Ἐπὶ τῶν δεδομένων τούτων στηριζόμενός τις ὡς καὶ τῆς ὁμοιότητος τοῦ ὕφους θὰ ἠδύνατο μετὰ πολλῆς τῆς πιθανότητος νὰ ἀποφανθῇ ὅτι συγγραφεὺς αὐτοῦ εἶναι ὁ Ἰωσὴφ Φιλάγρης. Αἱ περὶ τοῦ Ἀνθίμου ἱστορικαὶ εἰδήσεις, ἃς πορίζόμεθα ἐξ αὐτοῦ, εἶναι αἱ ἀκόλουθοι. Ὁ Ἄνθιμος καταγόμενος ἐκ Κρήτης «ἡμετέρας πατρίδος εὔβοτον θρέμμα» ἐκλείσθη ἐν τῷ λάκκῳ ἡμέραν Παρασκευὴν «τὸ γὰρ κατακλεισθῆναι καί σε τάφῳ, ἐν ᾗ καὶ αὐτὸς (ὁ Χριστὸς) κατετέθη ἡμέρᾳ», ἐν ᾧ διέμεινεν ἑπτὰ μῆνας αὐστηρῶς φρουρούμενος «ἡμεῖς δὲ τὸν σὸν (τάφον, δηλαδὴ τὸν λάκκον) καταλαβόντες οὔτε

εἶναι ὁ Νεῖλος πατριάρχης Κωνσταντινουπόλεως, τὰ ἔργα τοῦ ὁποίου περιέχει ὁ ὑπ' ἀριθμὸν 243 κῶδιξ τῶν Παρισίων [1].

Αἱ περὶ τοῦ Ἀνθίμου ἱστορικαὶ εἰδήσεις, ἃς παρέχει ἡμῖν ὁ λόγος τοῦ πατριάρχου Νείλου, εἶναι αἱ ἀκόλουθοι·

Οἱ Κρῆτες ἐπαναστατήσαντες κατὰ τῶν Ἑνετῶν, τῶν κατεχόντων πρὸ πολλοῦ τὴν νῆσον αὐτῶν [2], ἑπομένως πολὺ μετὰ τὸ 1204, ἐξήλασαν αὐτοὺς τῆς νήσου ἀπαλλαγέντες οὕτω δεσποτῶν ἀγνωμόνων. Ἀποκτήσαντες τὴν ἐλευθερίαν αὐτῶν ἀποστέλλουσι πρεσβείαν εἰς Κωνσταντινούπολιν ζητοῦντες παρὰ τοῦ πατριάρχου ἐπίσκοπον [3] πρὸς διωργάνωσιν τῆς ἐκκλησίας των. Ὁ πατριάρχης «συντείνας ἑαυτὸν καὶ πλεῖστα δὴ περὶ τοῦ προκειμένου διασκεψάμενος τὸν μακάριον Ἄνθιμον τοῖς πρεσβευταῖς συνεκπέμπει» καὶ οὕτω «τῆς Ἀθηναίων πόλεως ἀφελόμενος, ᾗ κεκλήρωτο, τῇ τῶν Κρητῶν ἐφίστησι νήσῳ».

Ὁ Ἄνθιμος ἀψηφῶν τοὺς κινδύνους ἔρχεται εἰς τὴν Κρήτην, ἔνθα ἐγένετο αὐτῷ ἔνθερμος καὶ ἐγκάρδιος ὑποδοχή, καὶ ἀναλαμβάνει τὴν ἐκκλησιαστικὴν διοίκησιν αὐτῆς καὶ τὴν διόρθωσιν τῶν κακῶς ἐν αὐτῇ ἐχόντων ἀναδειχθεὶς ἀντάξιος τῶν προσδοκιῶν τῶν Κρητῶν. Ἀλλ' οἱ Κρῆτες «ἔπασχον κακῶς τῷ Λατινικῷ περιεστοιχισμένοι πολέμῳ, ταῖς περιπλεούσαις ναυσὶν εἰργόμενοι τὸ ἐνδέον ἔξωθεν εἰσκομίζεσθαι, ἀφορίᾳ τε καρπῶν ἐν πλείοσιν ἔτεσιν ἐπίεζεν αὐτοὺς ὁ θεός». Εἰς τὰ κακὰ ταῦτα προσετέθησαν αἱ ἀντιζηλίαι καὶ στάσεις τῶν Κρητῶν, ἃς ἐπωφεληθέντες οἱ Ἑνετοὶ διὰ δωροδοκίας καταλαμβάνουσι τὴν νῆσον. Τότε πολλοὶ τῶν Κρητῶν θανατοῦνται, ἄλλοι ἐξανδραποδίζονται καὶ ἄλλοι παντοίως τιμωροῦνται, συλλαμβάνεται δὲ καὶ ὁ Ἄνθιμος, ἐπὶ προφάσει μὲν ὅτι ἠρέθιζε τοὺς Κρῆτας πρὸς ἀντίστασιν, κυρίως ὅμως διότι προέτρεπεν αὐτοὺς νὰ ἀπέχωνται τῆς κοινωνίας τῶν Λατίνων, ἕνεκα τῶν ἑτεροδιδασκαλιῶν αὐτῶν, καὶ κλείεται εἰς δεσμωτήριον «τάφου μᾶλλον βιαιότερον καὶ βαρύτερον», ἀφοῦ πρότερον προσεπάθησε ματαίως ὁ Λατῖνος ἐπίσκοπος νὰ πείσῃ αὐτὸν νὰ ἀναγνωρίσῃ τὰς ἑτεροδιδασκαλίας τῶν δυτικῶν.

Μετὰ διαμονὴν ἑνὸς ἔτους ἐν αὐτῷ [4], προσκαλεῖ ἐκ δευτέρου αὐτὸν ὁ

τὸν ποθούμενον ἰδεῖν ἠξιώθημεν, ἀλλ' οὐδὲ προσεγγίσαι τῷ τόπῳ» καὶ ἔπειτα ἀπηλευθερώθη «ἑπτὰ τοίνυν καὶ αὐτὸς ἐν τῷ λάκκῳ μῆνας ποιήσας ἀνελπίστως τούτου, Θεοῦ κελεύσει, ἀνέθορας».

[1] Ὁ κῶδιξ Coisl. 243 (τοῦ 15 αἰῶνος) περιέχει τεσσαράκοντα τρεῖς ὁμιλίας τοῦ πατριάρχου Κωνσταντινουπόλεως Νείλου (φ. 1-191), τὸν λόγον αὐτοῦ εἰς τὸν Ἄνθιμον ἀρχιεπίσκοπον Ἀθηνῶν καὶ μίαν ἀσκητικὴν αὐτοῦ πραγματείαν (φ. 191-204 καὶ 253-260).

[2] «Τῆς γὰρ νήσου ταύτης ἐκ πολλοῦ Λατίνοις δεδουλωμένης».

[3] Ὡς γνωστόν, μετὰ τὴν ὑπὸ τῶν Ἑνετῶν κατάκτησιν τῆς Κρήτης, οἱ Λατῖνοι ἀπεδίωξαν τοὺς ὀρθοδόξους ἐπισκόπους ἀνεχόμενοι μόνον τοὺς κατωτέρους ὀρθοδόξους κληρικούς, οὓς ὅμως ὑπεχρέουν νὰ ἀναγνωρίζωσιν ὡς προϊσταμένους αὐτῶν τοὺς Λατίνους ἐπισκόπους.

[4] «Ἐνιαυτὸν ὅλον». Ἐν τῇ ὁμιλίᾳ, «ὅτε ἐξῆλθεν ἐκ τοῦ λάκκου», λέγεται «ἑπτὰ μῆνας».

ἐπίσκοπος τῶν Λατίνων καὶ προσπαθεῖ νὰ πείσῃ αὐτὸν δι' ἀπάτης, διισχυριζόμενος ὅτι πάντες οἱ ἀνατολικοὶ ἐπίσκοποι ἀνεγνώρισαν τὴν δυτικὴν ἐκκλησίαν ἐλθόντες εἰς κοινωνίαν πρὸς αὐτήν, νὰ ἔλθῃ καὶ αὐτὸς εἰς κοινωνίαν καὶ ἀναγνωρίσῃ τὴν δυτικὴν ἐκκλησίαν. Ἐπειδὴ ὅμως ὁ Ἄνθιμος δὲν ἐπείθετο, μὴ πιστεύων εἰς τὰ λεγόμενα, ῥίπτεται πάλιν εἰς τὸ δεσμωτήριον [1]. Μετὰ διαμονὴν ἐν αὐτῷ «ἐφ' ἑτέροις δυσὶν ἔτεσιν» ἔρχεται ὁ ἐπίσκοπος εἰς τὸ δεσμωτήριον καὶ ἐρωτᾷ αὐτόν, ἐὰν δέχεται τὴν μετὰ τῶν Λατίνων κοινωνίαν, ἐπειδὴ δὲ ἐκεῖνος ἠρνήθη, ῥίπτεται πάλιν εἰς τὸν λάκκον «τὰ τελευταῖα πνέων». Οὕτω «προνοίας ἔρημος παντελῶς οὐ διήρκεσεν ἐπὶ πλεῖστον, ἀλλὰ πρὸς ὃν ἐπόθει Θεὸν μετέστη, ἄδηλον δὲ εἰμὴ καὶ παρὰ Λατίνων βιαιότερον ἀνῃρέθη».

Μετὰ τὴν τελευτὴν θάπτεται ὑπὸ τὴν ψάμμον, ἀπαγορευθείσης τῆς ταφῆς αὐτοῦ τοῖς ὀρθοδόξοις.

Ἐκ τῶν ἀνωτέρω γίνεται δῆλον ὅτι ὁ Ἄνθιμος φυλακισθεὶς τρὶς ἐν Κρήτῃ, διέμεινεν ὑπὲρ τὰ τρία ἔτη ἐν φυλακῇ. Ἐὰν δ' ὑπολογίσῃ τις τὴν πρὸ τῆς φυλακίσεως δρᾶσιν αὐτοῦ ἐν Κρήτῃ ὡς διαρκέσασαν περὶ τὸ ἔτος, δύναται νὰ συμπεράνῃ ὅτι ἡ ὅλη δρᾶσις αὐτοῦ ὡς προέδρου Κρήτης διήρκεσε περὶ τὰ τέσσαρα ἔτη καὶ ἑπομένως τέσσαρα ἔτη πρὸ τοῦ θανάτου του εἶχεν ἐκλεγῇ πρόεδρος Κρήτης. Δύσκολον ὅμως εἶναι νὰ συμπεράνῃ τις πότε ἦλθεν ὁ Ἄνθιμος εἰς τὴν Κρήτην, καθ' ὅσον ἡ ἐπανάστασις τῶν Κρητῶν, ἡ ἐπικράτησις αὐτῶν καὶ ἡ μετ' αὐτὴν κατάληψις τῆς νήσου ὑπὸ τῶν Ἑνετῶν περιγράφονται ἐν τῷ λόγῳ τούτῳ οὕτω γενικῶς, ὥστε δὲν δύναταί τις μετὰ βεβαιότητος νὰ ἀποφανθῇ περὶ τίνος ἐκ τῶν πολλῶν ἐπαναστάσεων τῶν Κρητῶν κατὰ τὴν Ἑνετοκρατίαν πρόκειται. Ἐν τούτοις πρὸς ἐξακρίβωσιν τοῦ χρόνου τῆς μεταβάσεως τοῦ Ἀνθίμου εἰς Κρήτην βοηθοῦσιν ἡμᾶς, ὡς νομίζω, τὰ ἐν τῷ λόγῳ λεγόμενα περὶ τῆς τελευταίας αἱρέσεως, τῆς συνταραξάσης τὴν ἐκκλησίαν, εἰς ἣν ἔλαβε μέρος ὁ Ἄνθιμος. Περὶ αὐτῆς, μεταξὺ ἄλλων, παρατηρεῖ ὁ Νεῖλος «Ἀλλὰ πῶς ἂν ἑτέρως τὴν τοῦ Θεοῦ χάριν ἴσχυσεν ἡμῶν ἀφελεῖν καὶ τῆς ἐκεῖθεν βοηθείας ἀποστερῆσαι ἢ πείσας μὴ θεῖόν τι χρῆμα νομίζειν μηδ' ἀϊδίως Θεῷ προσεῖναι, κατὰ τὴν ἀναλογίαν τῆς καθάρ-

[1] Ἐκ τῶν λεγομένων ἐν τῷ λόγῳ τούτῳ «τοῖς ἱερεῦσι τῶν Κρητῶν ἐκέλευεν ἐπαγγέλλειν ἱλάσκεσθαι τὸν Θεὸν εὐχαῖς καὶ ἱκεσίαις καὶ δάκρυσιν καὶ πᾶσιν οἷς οἶδε Θεὸς πρὸς ἔλεον ἐπικάμπτεσθαι, ὥστε τὴν ἐπερχομένην πονηρὰν πεῖραν διαφυγεῖν», καὶ κατωτέρω «ἐπὶ τὴν ἐκείνου καταφεύγουσι προστασίαν καὶ δέονται πρὸς ἀπολογίαν αὐτοὺς ἀλεῖψαι καὶ οἷς τισι λόγοις χρώμενοι τὸν πειράζοντα νικήσουσιν ὑποθέσθαι, ὧν καὶ τυχόντες» κτλ. φαίνεται ὅτι μεταξὺ τοῦ τέλους τῆς πρώτης φυλακίσεως καὶ τῆς ἀρχῆς τῆς δευτέρας ἐμεσολάβησε χρόνος οὕτως ὥστε κατ' αὐτὸν ἠδύνατο νὰ ἐκφωνηθῇ ὁ λόγος «ὅτε ἐκ τῆς φυλακῆς ἐξῆλθεν», ἢ τοὐλάχιστον ὅτι κατὰ τὴν δευτέραν φυλάκισιν οἱ περιορισμοὶ δὲν ἦσαν μεγάλοι οὕτως ὥστε ὁ Ἄνθιμος ἠδύνατο νὰ συνεννοῆται μετὰ τῶν ἔξω. Τὸ τελευταῖον τοῦτο ἀποδεικνύεται καὶ ἐκ τοῦ λόγου τοῦ Ἀνθίμου περὶ τῶν προόδων τοῦ ἁγίου Πνεύματος, τοῦ ἐκδοθέντος ἐκ λάκκου, δηλαδὴ ἐκ τῆς φυλακῆς, καὶ ἐκ τῆς ἐπιστολῆς αὐτοῦ πρὸς τὸν Ἰωσήφ, τῆς γραφείσης ἐπίσης ἐκ τοῦ λάκκου.

σεως ἑκάστῳ χορηγουμένην καὶ θείας κοινωνοὺς φύσεως τῇ μετουσίᾳ ταύτης ἐργαζομένων, ἀλλὰ κτίσμα καὶ τῶν κτισμάτων οὐχ ὅσα μὲν εἰ πρὸς χρόνον καὶ διαμονήν τινα καὶ πῆξιν ἔχει τοῦ εἶναι, ἀλλ᾽ ὅσα γίνεσθαι καὶ διαλύεσθαι πέφυκε καὶ τῆς αὐτῆς ἡμέρας πολλάκις, ἵν᾽ ᾖ μὴ μόνον ἀσεβὲς ἀλλὰ καὶ λίαν ὑβριστικὸν τὸ ἐγχείρημα ἐκ τῆς ἀνωτάτω δόξης ἐπὶ τὴν ἐσχάτην τῶν κτισμάτων ἀτέλειαν καταγόντων».

Ἐκ τῶν ἀνωτέρω καὶ τῶν καθόλου περὶ τῆς αἱρέσεως ταύτης λεγομένων προκύπτει, κατὰ τὴν γνώμην μου, ἀναμφισβητήτως ὅτι ἐνταῦθα πρόκειται περὶ τῆς ἡσυχαστικῆς ἔριδος, τῆς ἀρξαμένης διὰ τοῦ Βαρλαάμ, τοῦ ἀπὸ Καλαβρίας, καὶ καταδικασθείσης ἔπειτα ἐν τοῖς συνόδοις ταῖς γενομέναις ἐν τῇ ἁγίᾳ Σοφίᾳ τῷ 1341, ἐν ᾗ κατεδικάσθη ὁ Βαρλαάμ, ἐν τοῖς Βασιλείοις τῷ 1347, ἐν ᾗ καθῃρέθη ὁ Γρηγόριος, ὁ Ἀκίνδυνος καὶ οἱ ὀπαδοὶ αὐτοῦ, καὶ ἐν τῷ Τρικλίνῳ τῶν Βλαχερνῶν ἐπὶ πατριάρχου Καλλίστου, ἐν ᾗ καθῃρέθησαν καὶ ἀπεκηρύχθησαν πάντες οἱ φρονοῦντες τὰ τοῦ Ἀκινδύνου. Κατὰ ταῦτα ὁ Ἄνθιμος ἐξελέγη πρόεδρος Κρήτης κατὰ τὸ τέλος τοῦ πρώτου ἡμίσεος ἢ τὸ πολὺ τὰς ἀρχὰς τοῦ δευτέρου τοῦ δεκάτου τετάρτου αἰῶνος [1]. Τὴν ὀρθότητα τοῦ ἀνωτερω συμπεράσματος ἐνισχύουσι καὶ τὰ ἀκόλουθα. Ὁ Νεῖλος ἐπατριάρχευσεν ἐν Κωνσταντινουπόλει κατὰ τοὺς ἀκριβεστέρους ὑπολογισμοὺς [2] ἀπο τοῦ 1380 - 1388, ἐπομένως ὁ λόγος αὐτοῦ εἰς τὸν Ἄνθιμον ἐξεφωνήθη κατὰ τὸ χρονικὸν τοῦτο διάστημα, ἐκτὸς ἐὰν δεχθῇ τις ὅτι οὗτος ἐξεφωνήθη ὑπὸ τοῦ Νείλου πρὸ τῆς ἀνόδου αὐτοῦ εἰς τὸν πατριαρχικὸν θρόνον [3], ἐπομένως πρὸ τοῦ 1380, ὅπερ δὲν φαίνεται πιθανόν. Πάντως ὁ Ἄνθιμος εἶχε τελευτήσει ὀλίγον χρόνον πρὸ τῆς ἐκφωνήσεως τοῦ λόγου τούτου [4], ἦτο δὲ σύγχρονος τοῦ τε ῥήτορος [5] καὶ πολλῶν τῶν ἀκροατῶν [6] καὶ ἐπο-

[1] Πρβλ. καὶ τὰ λεγόμενα «λέγω τὸν οὐ πρὸ πολλοῦ πρὸς ἀλλήλους κεκινημένον ἡμῖν καὶ τοῖς πολιτικοῖς πράγμασι νοσοῦσι καὶ διακειμένοις κακῶς, συμμετεσχηκυίας τῆς λύμης τῆς ἐκκλησίας, τῶν τότε ποιμένων ἀφρόνως τὸν ἀμπελῶνα Κυρίου λυμαινομένων καὶ λύκων ὀφθέντων ἀντὶ ποιμένων» καὶ «τῶν δὴ τοιούτων ὑπὲρ τῆς εὐσεβείας ἀγώνων τε καὶ σκαμμάτων οὐδ᾽ ὁ μακάριος Ἄνθιμος ἀπελείπετο, ἀλλὰ καίτοι νέαν ἄγων τὴν ἡλικίαν».

[2] Πρβλ. Μ. Γεδεὼν Πατριαρχικοὶ πίνακες. Κατὰ τὸν Ζαχαρίαν Μαθᾶν ἐπατριάρχευσεν ἀπὸ τοῦ 1378 - 1388 (Κατάλογος Πατριαρχῶν Κων/πόλεως) καὶ κατὰ τὸν Κρουμβάχερ ἀπὸ τοῦ 1379 - 1387, (Ἱστορία τῆς Βυζ. Λογοτεχνίας κατὰ μετάφρασιν Γ. Σωτηριάδου τόμ. Α΄. σ. 349).

[3] Τοῦτο θὰ ἠδύνατό τις νὰ συμπεράνῃ ἐκ τῶν ὑπὸ τοῦ Νείλου λεγομένων περὶ τοῦ πατριάρχου, τοῦ ἐκλέξαντος τὸν Ἄνθιμον πρόεδρον Κρήτης «τὸν αὐτὸν δὲ τρόπον καὶ ὁ τηνικάδε τῶν ἱερῶν ἀρχῶν τὴν μεγίστην πεπιστευμένος», πρβλ. καὶ «πρὸς τὸν μέγαν τῆς βασιλευούσης πόλεως ταὐτὸν δ᾽ εἰπεῖν καὶ τῆς οἰκουμένης ἀρχιερέα».

[4] Πρβλ. «Τῶν προσφάτων ἀμελητέον» καὶ «ὡς τὰ νῦν ἐπ᾽ ὄψεσιν ὥσπερ κείμενα καὶ μονονουχὶ φωνὴν ἀφιέντα».

[5] Πρβλ. «Ὃς καὶ ζῶν ἡμᾶς ἐν τοῖς πρώτοις ἦγες τῶν φιλουμένων καὶ κοινωνούς, ἐν οἷς ἐξῆν ἕπεσθαι, παραλαμβάνειν οὐκ ἀπηξίους».

[6] Πρβλ. «Ἀλλ᾽ ἐπεὶ θαυμαστός τις καὶ ὑπὲρ ἡμᾶς, ὃν εἱλόμεθα, τῶν λόγων ἀγὼν δοκεῖ, ὑμεῖς οἱ τὰ ἐκείνου σαφῶς εἰδότες κουφίσατέ μοι τὸν πόνον περὶ τὸν λόγον κάμνοντι».

μένως ἀπέθανε κατὰ τὸ τέλος τοῦ πρώτου ἡμίσεος ἢ τὰς ἀρχὰς τοῦ δευτέρου τοῦ δεκάτου τετάρτου αἰῶνος.

Πρὸς τὸ συμπέρασμα τοῦτο φαίνεται ἀντικείμενος ὁ ὑπ᾽ ἀριθμὸν 30 (C. 3. 16) κῶδιξ τῆς ἐν Ῥώμῃ Bibliotheca Angelica [1], ὅστις περιλαμβάνει τὸν λόγον τοῦ Ἀνθίμου περὶ τῶν προόδων τοῦ ἁγίου πνεύματος [2] καὶ τὴν ἐπιστολὴν αὐτοῦ ἐκ τοῦ λάκκου πρὸς τὸν Ἰωσήφ [3], ὡς καὶ τὸν ἕτερον λόγον, ὁπόταν ὁ μητροπολίτης Ἄνθιμος τῆς φρουρᾶς ἐξῆλθεν [4].

Ὁ κῶδιξ δηλαδὴ οὗτος πλὴν τῶν φύλλων 197 - 203 ἔχει γραφῆ ὑπὸ τοῦ Ἰωσὴφ τοῦ Φιλάγρη, ὅστις εἶναι καὶ ὁ συγγραφεὺς πολλῶν ἔργων περιεχομένων ἐν αὐτῷ [5] κατὰ τὰ ἔτη [6] 1393 καὶ 1394, ἐπομένως πολὺ μετὰ τὸν μαρτυρικὸν θάνατον τοῦ Ἀνθίμου.

Οὕτως ὅμως ἐχόντων τῶν πραγμάτων θὰ ἀνέμενέ τις καὶ ἐν τῷ κώδικι τούτῳ, τῷ περιέχοντι τὰ ἔργα τοῦ Ἀνθίμου καὶ λόγον εἰς αὐτόν, ὁπόταν τῆς φρουρᾶς ἐξῆλθε καὶ γραφέντι ὑπὸ τοῦ Ἰωσὴφ τοῦ Φιλάγρη τοῦ Κρητός, τοῦ συνδεομένου στενῶς μετὰ τοῦ Ἀνθίμου καὶ γνωρίζοντος τὸν θάνατον αὐτοῦ, σημείωσίν τινα τοὐλάχιστον περὶ τοῦ μαρτυρικοῦ αὐτοῦ θανάτου.

Εἶναι φανερὸν ὅτι ὁ Φιλάγρης, γράφων τὸν κώδικα μετὰ τὸν μαρτυρικὸν θάνατον τοῦ Ἀνθίμου, ἔπρεπεν ἰδίᾳ μετὰ τὸν λόγον «ὁπόταν ὁ μητροπολίτης Ἄνθιμος τῆς φρουρᾶς ἐξῆλθεν» ἢ τὴν ἐπιστολὴν τοῦ Ἀνθίμου ἐκ τοῦ λάκκου νὰ σημειώσῃ τι περὶ τοῦ μαρτυρικοῦ θανάτου τοῦ Ἀνθίμου. Ἡ ἔλλειψις ὅμως πάσης σημειώσεως ἐν τῷ κώδικι τούτῳ περὶ τοῦ θανάτου τοῦ Ἀνθίμου δύναται νὰ ἐξηγηθῇ, ὡς φρονῶ, ἐὰν δεχθῇ τις ὅτι, ἐν τῇ μετὰ ταῦτα ἐποχῇ τῶν δυτικῶν τις ἀπέσχισε τὸ φύλλον ἢ τὰ φύλλα, εἰς τὰ ὁποῖα ὑπῆρχον αἱ σημειώσεις περὶ τοῦ μαρτυρικοῦ θανάτου τοῦ Ἀνθίμου, ὅπως οὕτως ἀποκρύψῃ, ὡς ἐνόμιζε, τὰς βιαιότητας καὶ ὠμότητας τῶν ὁμοδόξων αὐτοῦ [7]. Ἐκ

[1] Πρβλ. Piccolomini Index codicum Graecorum Bibliothecae Angelicae ἐν Studi Italiani di filologia classica τόμ. Δ΄ (1896) σ. 64 ἑ.

[2] Ἐν φύλ. 342β - 358β.

[3] Ἐν φύλ. 358β.

[4] Ἐν φύλ. 3β - 4α.

[5] Πρβλ. ἐν φύλ. 5α «Ἰστέον ὅτι τὰ νέα σχόλια, ἅτινά εἰσιν ὡς παραπληρώματα, εἰσὶν Ἰωσὴφ μοναχοῦ τοῦ Φιλάγρη, τοῦ γράψαντος τὸ βιβλίον, καὶ εἰ καλῶς πρὸς τὴν ἔννοιαν ἔχουσι, λαμβανέτωσαν οἱ ἀναγινώσκοντες, εἰ δὲ οὔ, καταλειπέτωσαν, ὡς ἄχρηστα» καὶ ἐν φύλ. 346β «τοῦ γράψαντος τὴν βίβλον Ἰωσήφ».

[6] Πρβλ. ἐν φύλ. 117β «Διερμηνεύθησαν δὲ ἐν τῷ Κωφηνίῳ ὄρει ἐν τῇ μονῇ τῶν τριῶν μεγάλων Ἱεραρχῶν παρὰ τοῦ Ἰωσὴφ τοῦ Φιλαγρίου, τοῦ τῆς αὐτῆς μονῆς κτήτορος ἐν ἔτει ͵ϚϠΑ΄» καὶ ἐν φύλ. 138β «͵ϚϠΒ΄» ἐπομένως κατὰ τὸ 1393 καὶ 1394.

[7] Ἡ ὑπόθεσις ὅτι ὁ Φιλάγρης μένων ἐν Κρήτῃ δὲν ἔγραψέ τι περὶ τοῦ θανάτου τοῦ Ἀνθίμου ἐκ φόβου τῶν κρατούντων, δὲν φαίνεται πιθανή, τοσοῦτο μᾶλλον καθ᾽ ὅσον, ἐὰν ὁ Φιλάγρης ἐφοβεῖτο τοὺς κρατοῦντας, ἠδύνατο καὶ ἔπρεπεν ἁπλῶς καὶ ἄνευ σχολίων νὰ ἀναφέρῃ τοὐλάχιστον τὸν θάνατον τοῦ Ἀνθίμου.

τούτου δύναται ἴσως νὰ ἐξηγηθῇ καὶ ἡ ἐν τῷ κώδικι νῦν παρατηρουμένη ἔλλειψις τῆς συνεχείας τῆς ἐπιστολῆς τοῦ Ἀνθίμου ἐκ τοῦ λάκκου πρὸς τὸν Ἰωσήφ[1].

Ἐκ τῆς ὅλης διηγήσεως τοῦ Νείλου περὶ τῶν ἐν Κρήτῃ φυλακίσεων τοῦ Ἀνθίμου καὶ τῶν κατ' αὐτὰς βασάνων αὐτοῦ γίνεται δῆλον ὅτι ὅταν ἐτελεύτησεν ὁ Ἄνθιμος, δὲν ἦτο γέρων. Τοῦτο ἀποδεικνύεται, ὡς φρονῶ, καὶ ἐκ τῆς μακρᾶς, ὑπὲρ τὰ τρία ἔτη, διαρκείας αὐτῶν καὶ πρὸ παντὸς ἐκ τοῦ ὅτι οὐδένα ποιεῖται λόγον ὁ Νεῖλος περὶ τῆς γεροντικῆς ἡλικίας τοῦ Ἀνθίμου. Εἶναι φανερὸν ὅτι ὁ Νεῖλος κατὰ τὴν περιγραφὴν τῆς φυλακίσεως καὶ τῶν στερήσεων, ἃς ὑφίστατο ὁ Ἄνθιμος, πάντως, ἐὰν οὗτος ἦτο γέρων, θὰ ἐτόνιζε τὸ γεροντικὸν τῆς ἡλικίας αὐτοῦ, τοσοῦτο μᾶλλον, καθ' ὅσον οὕτω θὰ ἐξῇρεν ἔτι μᾶλλον τὸ ἀπάνθρωπον τῶν στερήσεων καὶ θὰ ἐκίνει τὴν συμπάθειαν τῶν ἀκροατῶν. Κατὰ ταῦτα ἐκ τῆς ὅλης διηγήσεως τοῦ Νείλου περὶ τῶν φυλακίσεων καὶ τῶν βασάνων τοῦ Ἀνθίμου δύναταί τις νὰ συμπεράνῃ ὅτι οὗτος δὲν εἶχεν ὑπερβῆ τὸ ἑξηκοστὸν ἔτος τῆς ἡλικίας αὐτοῦ. Τὸ συμπέρασμα τοῦτο ἐνισχύεται καὶ ἐκ τῶν ἀκολούθων.

Κατὰ τὴν διήγησιν τοῦ Νείλου, ὁ Ἄνθιμος ζῶν βίον ἐγκρατῆ καὶ οἱονεὶ ἀσκητικὸν καὶ πρὸ τοῦ γίνῃ μοναχός[2], γενόμενος τοιοῦτος ἐν νεαρᾷ ἡλικίᾳ ἐξηκολούθει τὴν ἄσκησιν καὶ τοὺς ὑπὲρ τῆς εὐσεβείας ἀγῶνας[3] ἐπὶ εἴκοσιν ὀκτὼ ὅλα ἔτη[4]. Κατὰ ταῦτα ὁ Ἄνθιμος γενόμενος μοναχὸς ἐν νεαρᾷ ἡλικίᾳ, οὐχὶ λοιπὸν ἀνωτέρᾳ τῶν εἴκοσιν ἐτῶν, ἐξηκολούθει τὴν ἄσκησιν καὶ τοὺς ὑπὲρ τῆς εὐσεβείας ἀγῶνας ἐπὶ εἴκοσιν ὀκτὼ ὅλα ἔτη, μέχρι δηλαδὴ τοῦ θανάτου του[5]. Ἑπομένως ὁ Ἄνθιμος ἐτελεύτησεν ἐν ἡλικίᾳ τὸ πολὺ τεσσαράκοντα ὀκτὼ ἐτῶν.

Ἐπὶ τῶν ἀνωτέρω συλλογισμῶν στηριζόμενοι δυνάμεθα νὰ ἐξαγάγωμεν τὸ ἀσφαλὲς συμπέρασμα, ἐφ' ὅσον, ἐννοεῖται, οἱ ἀνωτέρω συλλογισμοὶ εἶναι ἀσφαλεῖς, ὅτι ὁ Ἄνθιμος γεννηθεὶς κατὰ τὸ τέλος τοῦ δεκάτου τρίτου αἰῶνος ἢ τὰς ἀρχὰς τοῦ δεκάτου τετάρτου, ἐτελεύτησεν ἐν ἡλικίᾳ τὸ πολὺ πεντήκοντα ἐτῶν κατὰ τὸ τέλος τοῦ πρώτου ἡμίσεος τοῦ δεκάτου τετάρτου αἰῶνος.

---

[1] Ἄξιον σημειώσεως εἶναι ἐνταῦθα ὅτι ἐκ τοῦ κώδικος τούτου ἐλλείπουσι πολλὰ φύλλα καὶ ἐνιαχοῦ ὅλα τετράδια. Ἐὰν τοῦτο εἶναι τυχαῖον, δύναταί τις βεβαίως νὰ δεχθῇ ὅτι τυχαίως ἐξέπεσον καὶ τὰ φύλλα ἢ τὸ φύλλον, εἰς ἃ ὁ Φιλάγρης εἶχε γράψει περὶ τοῦ θανάτου τοῦ Ἀνθίμου. Ἡ τυχαία ὅμως αὕτη σύμπτωσις φαίνεται εἰς ἐμὲ ἀπίθανος.

[2] «Καίπερ δὲ οὕτω καὶ πρὶν εἰς τῶν μοναστῶν τελεῖν τὸν χορὸν ἐν τοῖς καλοῖς ἑαυτὸν ἅπασιν ἐξασκήσας».

[3] «Τῶν δὲ τοιούτων ὑπὲρ τῆς εὐσεβείας ἀγώνων τε καὶ σκαμμάτων οὐδ' ὁ μακάριος Ἄνθιμος ἀπελείπετο, ἀλλὰ καίτοι νέαν ἄγων τὴν ἡλικίαν κατατεταγμένος ὑπὸ καθηγητῇ τῆς θεοσεβείας καὶ τῆς πρὸς οὐρανοὺς φερούσης τρίβου καὶ τῆς ἐμπράκτου φιλοσοφίας».

[4] «Καὶ ταῦτα οὐκ ἐπὶ δύο καὶ τρισὶ καὶ δὶς τοσούτοις, ἀλλ' ἐφ' ὅλοις ὀκτὼ πρὸς τοῖς εἴκοσιν ἔτεσιν ποίαν ἀπολείπει καλοκαγαθίας ὑπερβολήν».

[5] Οὕτω νομίζω ὅτι πρέπει νὰ νοηθῇ τὸ ἀνωτέρω ὅπως δήποτε σκοτεινὸν χωρίον «ἐφ' ὅλοις ὀκτὼ ἔτεσιν πρὸς τοῖς εἴκοσιν».

Ὑπολείπεται ἡ ἐξέτασις τοῦ ζητήματος πότε ὁ Ἄνθιμος ἐγένετο μητροπολίτης Ἀθηνῶν καὶ ἔπειτα πρόεδρος Κρήτης καὶ ὑπὸ τίνος πατριάρχου Κωνσταντινουπόλεως.

Οἱ περὶ τὸν Ἄνθιμον ἀσχοληθέντες, δὲν γνωρίζω ποῦ στηριζόμενοι, νομίζουσιν ὅτι οὗτος ἐγένετο Ἀθηνῶν καὶ ἀπεστάλη εἰς τὴν Κρήτην ἐπὶ πατριάρχου Ἀθανασίου τοῦ Α' (1289 - 1293 καὶ 1304 - 1310). Ἡ γνώμη αὕτη, ἐὰν τὰ ἡμέτερα συμπεράσματα εἶναι ἀσφαλῆ, δὲν εἶναι ὀρθή, τοσοῦτο μᾶλλον, καθ' ὅσον ἐκ τῆς διηγήσεως τοῦ Νείλου καταφαίνεται, ὡς νομίζω, ὅτι ἄλλος ἦτο ὁ πατριάρχης, ὁ ἐκλέξας τὸν Ἄνθιμον Ἀθηνῶν καὶ ἄλλος πρόεδρον Κρήτης. Ἰδοὺ τί λέγει ὁ Νεῖλος περὶ τοῦ ἐκλέξαντος τὸν Ἄνθιμον Ἀθηνῶν «τελευταῖον ὑπὸ τῶν καλῶς εἰδότων τὰ τοῦ παντὸς ἄξια περιέπειν καὶ πολλῆς ἐπιμελείας ἀξιοῦν τὰ πάσης τιμῆς ἐπέκεινα, ἐφ' ὑψηλὴν ἀνάγεται τῶν ἀξιωμάτων περιωπὴν τῆς Ἀθηναίων πόλεως τὴν προστασίαν ἐγχειρισθεὶς» καὶ περὶ τοῦ ἐκλέξαντος αὐτὸν Κρήτης «ὁ τηνικάδε τῶν ἱερῶν ἀρχῶν τὴν μεγίστην πεπιστευμένος πρὸς τοῖς ἄλλοις, οἷς ἐκεκόσμητο πλεονεκτήμασι καὶ λόγῳ καὶ σοφίᾳ τῶν ὑπ' ἐκεῖνο κρατῶν τοῦ χρόνου καὶ καλῶς εἰδὼς πράγμασι χρῆσθαι καὶ τῷ καλῷ καὶ δικαίῳ μόνον ὀρθῇ ψήφῳ καὶ διανοίας εὐθύτητι προστιθέμενος τοῦ καιροῦ τότε καὶ τῶν πραγμάτων τὸν ἄριστον ἐν πράξεσι καὶ λόγοις ἐπιζητούντων». Ἐκ τῶν ἀνωτέρω λόγων τοῦ Νείλου καταφαίνεται ὅτι πρόκειται περὶ δύο διαφόρων πατριαρχῶν τοσοῦτο μᾶλλον, καθ' ὅσον, ἐὰν ὁ αὐτὸς πατριάρχης εἶχεν ἐκλέξει τὸν Ἄνθιμον Ἀθηνῶν καὶ ἔπειτα Κρήτης, πάντως θὰ ἐτονίζετο τοῦτο ὑπὸ τοῦ Νείλου[1].

Καὶ ταῦτα μὲν ὡς πρὸς τὸν βίον τοῦ Ἀνθίμου, ὡς πρὸς δὲ τὰ ἔργα αὐτοῦ παρατηρῶ ὅτι ἐκτὸς τῶν τριῶν σῳζομένων καὶ ὑπ' ἐμοῦ ἐκδοθέντων θὰ εἶχε καὶ ἄλλα γράψει ὁ Ἄνθιμος. Τὴν εἰκασίαν ταύτην στηρίζω ἐπὶ τῶν λεγομένων ὑπὸ τοῦ Νείλου «οὐ μήν, ἀλλ' ἐπειδή περ ἐν τούτῳ γεγένημαι τῷ μέρει τοῦ λόγου καὶ δεῖ καθάπερ τινὰ πίνακα τῆς ἐκείνου περὶ τὴν θεολογίαν ἀκριβείας ὑμῖν προθεῖναι, φέρε μικρόν τι τῷ λόγῳ προσδιατρίψωμεν ὡς ἂν ἐγώ τε τοῖς περὶ ἐκείνου λόγοις καὶ διάνοιαν καὶ γλῶτταν καθαγιάσω καὶ ὑμεῖς ἡδίους γένησθε τοῖς σφόδρα φίλοις διηγήμασιν ὑπέχοντες ἀκοάς».

Λόγος ἕτερος, ὁπόταν ὁ μητροπολίτης Ἄνθιμος τῆς φρουρᾶς ἐξῆλθεν.

Χρέος ἐστὶ τοῖς ὑπὸ χεῖρα πᾶσι κοινὸν τοῦ προσφέρειν ἕκαστον τῷ οἰκείῳ δεσπότῃ, ἐξ ὧν οἶδεν ἐργάζεσθαι. Ὁ μὲν ἀγρὸν ἐργαζόμενος ἐν τῷ

---

[1] Τὸ ζήτημα τοῦτο ὡς καὶ τὸ τοῦ χρόνου τῆς ἀκμῆς τοῦ Ἀνθίμου θὰ ἠδύνατο νὰ λυθῇ ἀσφαλέστερον, ἐὰν εἴχομεν κατάλογον χρονολογικῶς ἀκριβῆ καὶ ὅπως δήποτε πλήρη τῶν ἐπισκόπων Ἀθηνῶν. Πάντως τὸ νομιζόμενον ὅτι ὁ Ἄνθιμος ἐγένετο Ἀθηνῶν μετὰ τὸν Μελέτιον Ἀθηνῶν καὶ πρόεδρον Μαδύτου, δὲν δύναται νὰ γίνῃ δεκτόν.

καλοῦντι καιρῷ τὰς ὀπώρας τούτῳ προσφέρει, τὸ μέντοι ἔαρ κρῖνα συλλέξας ἢ ῥόδα πρὸς τὸν οἰκεῖον δεσπότην πορεύεται, μετὰ μικρὸν δὲ καὶ καρποὺς εἰς ἐκεῖνον ἀποκομίζει, ὁ γεωργὸς δὲ καὶ ποιμὴν καὶ πάντες ἴσως, ἐξ ὧν ἕκαστος κέκτηται, τῷ ἑαυτοῦ προσφέρει δεσπότῃ. Κἀκεῖνοι μὲν τὰ τούτων δεσπόζοντες σώματα σωματικὰς οἴδασι καὶ παρ' αὐτῶν λαμβάνειν τὰς ἀπαρχάς. Ἐγὼ τοίνυν πρὸς τὸν κηδεμόνα καὶ φροντιστὴν τῶν ἡμετέρων βουλόμενος σήμερον ψυχῶν ἀπελθεῖν, ἐξ ὧν καὶ αὐτὸς κέκτημαι ποιοῦμαι τὴν εἰσφοράν. Δέομαι δὲ τῷ ἐμῷ δεσπότῃ μὴ ἀπώσηται ταῦτα διὰ τὴν τούτων σμικρότητα· οὐδὲ γὰρ ἄλλο τι μεῖζον τούτου εἶχον προσφέρειν νυνί, τοῦ καιροῦ καὶ μάλιστα τοῦτο καλοῦντος, εἰ μήπως καὶ αὐτός, ὡς ὁ ποτὲ κολοιὸς τοῖς ἀλλοτρίοις ἐκαλλωπίσθη πτεροῖς. Οἶδα γάρ σε μεμαθηκότα τοῦτο παρὰ τοῦ κοινοῦ πάντων ἡμῶν διδασκάλου, τὸ τὰ μικρὰ τῶν μεγάλων δώρων προκρίνειν, ὡς καὶ αὐτὸς τὰ δύο τῆς χήρας προέκρινε τῶν πολλὰ βαλλόντων ἐν τῷ γαζοφυλακίῳ λεπτά. Ἔμελλεν ἄρα καὶ τοῖς μεταγενεστέροις ἡμῖν τήμερον ὁ παρὰ τῶν ἀρχαίων τιμώμενος ἰωβηλαῖος χρόνος ἀναφανῆναι. Ἐν ἐκείνοις μὲν γὰρ ὁ νόμος οὗτος ἐκράτει· πᾶν τὸ εἰς δουλείαν προσαγόμενον ζῷον ἑπτὰ μόνον ἔτεσι διατρίβειν ἐν ταύτῃ, τὸν δὲ μετὰ ταῦτα ἰωβηλαῖον καλεῖσθαι, ὃς τοῖς ζῴοις ἐλευθερία τάξεως πάσης ἐτύγχανε δουλικῆς. Οὗτος δὲ καὶ τύπον φέρει τοῦ μέλλοντος· ἑβδόμη γὰρ παρά τισιν ὁ παρὼν αἰὼν λέγεται, ὁ δὲ μέλλων ὀγδόη, ὃν καὶ μάλιστα πρώτην ἐτύγχανε λέγεσθαι ὡς ἀρχὴν βιοτῆς ἑτέρας καὶ τῆς ἐλευθερίας ὑπάρχοντα. Ὁ γὰρ τὸν ἀριθμὸν τῶν ἑπτὰ ἐξ ἀρχῆς τιμήσας ἢ μᾶλλον εὐλογήσας Θεὸς καί σε νῦν τὸν ἡμέτερον ποιμένα καὶ ἱεράρχην δι' ἐκείνου ηὐδόκησεν εὐλογῆσαι· εἴρηται γὰρ καὶ εὐλόγησεν ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην καὶ ἐν ἑπτὰ ἡμέραις, ὥς φησιν, ὁ ἱερεὺς τελειοῦται καὶ Θεὸς αὐτὸς ἐν τοῖς ἑπτὰ πνεύμασιν ἀναπαύεται. Οὐ βούλομαι πολλὰ περὶ τούτων λέγειν· πεφιλοσόφηται γὰρ ἄλλῳ τινὶ κάλλιστά τε καὶ ὑψηλότατα. Ἑπτὰ τοίνυν καὶ αὐτὸς ἐν τῷ λάκκῳ μῆνας ποιήσας ἀνελπίστως τούτου, Θεοῦ κελεύσει, ἀνέθορεν. Οὑτωσὶ γὰρ ἔδει διὰ τῶν πραγμάτων τὰς ἀξίας χαρακτηρίζεσθαι. Ὁ μέντοι δεσπότης πάντων καὶ πλάστης Θεὸς βουληθεὶς βροτὸς γέγονεν, ὑπέστη πάθος ἑκών, τὸ τῆς ἀνθρωπίνης ὑποδεικνύων τεκμήριον φύσεως, πάντα τε καὶ τῷ τάφῳ κατακλεισθεὶς τριήμερος ἐκεῖθεν ἐγήγερται. Οὐ γὰρ τριέσπερος, ὥσπερ τις ἄλλος, ὠνόμασται· πῶς γὰρ ἔδει τοῦτον ἕσπερον καλεῖσθαι, ὅπου ὁ τῆς δικαιοσύνης ἐτύγχανεν ἥλιος. Κἀκεῖνος μὲν τὸ τρισυπόστατον ἡμῖν τῆς αὐτοῦ ὑποδεικνύων θεότητος τριήμερος ἐκ τάφου ἐγήγερται πᾶσι τοῖς ἐξ Ἀδὰμ ἀνάστασιν παρασχών. Οἶμαι οὑτωσὶ διὰ τοῦ πράγματος λέγων· ὁ θέλων τῆς ἀναστάσεως τυχεῖν σὺν ἐμοὶ δεῖ πάντως αὐτὸν ὑπὲρ ἐμοῦ καὶ παθεῖν καὶ σταυρωθῆναι καὶ ταφῆναι καὶ οὕτως ἀναστῆναι καὶ τῆς ἐμῆς βασιλείας γενέσθαι συμμέτοχον. Σὺ δ' ὡς ἐκείνου γνήσιος δοῦλος ἐπὶ σταυροῦ μὲν οὐκ ἀνῆλθες, ἀλλ' ἴσως εἴποι καὶ τοῦτό τις· ἔκπαλαι γὰρ φαίνῃ διὰ τοῦτο βαστάζων αὐτόν, πάθει δὲ καὶ ταφῇ ζῶν ἔτι

παρεδόθης ὑπὲρ ἐκείνου. Ἀλλ' αὐτός σε τοῦ τάφου μετὰ τὸν τῆς δουλείας χρόνον ἐρρύσατο. Πάντα μὲν γὰρ τὰ παρὰ Θεοῦ γινόμενα θαυμαστά εἰσι καὶ παράδοξα. Εἰσὶ δέ τινα τῶν ἄλλων θαυμαστικώτερα· τὸ γὰρ κατακλεισθῆναι καί σε τῷ τάφῳ, ἐν ᾗ καὶ αὐτὸς κατετέθη ἡμέρᾳ, τῶν ἄλλων πάντων ἐστὶ θαυμαστότερον. Καὶ διὰ πάντων μὲν ὡς ἐκείνου γνήσιος φαίνῃ δοῦλος, διά τοι τούτου καὶ τῶν μετὰ ταῦτα βασιλείας ἄξιος εἶναι δοκεῖς. Ἀλλ' εἰς τὸν τάφον ἐκείνου ποτὲ μυροφόροι ἐρχόμεναι τὸ ποθούμενον ἔβλεπον σῶμα, ἡμεῖς δὲ τὸν σὸν πολλάκις καταλαβόντες, οὔτε τὸν ποθούμενον ἰδεῖν ἠξιώθημεν, ἀλλ' οὐδὲ προσεγγίσαι τῷ τόπῳ, ὃ καὶ μᾶλλον τῶν ἄλλων τὴν ἐμὴν ὀδύνει ψυχήν. Ὅσα τὰ κατὰ σὲ ἐκ τῶν ἔγγιστα καὶ τῶν μακρόθεν ἠκούομεν, τίς σοι ταῦτα καταλεπτῶς ἱκανὸς διηγεῖσθαι; Ὢ εὐχαριστοῦμεν τῷ ἡμετέρῳ Θεῷ, τῷ κηδεμόνι καὶ φροντιστῇ καὶ ὑπηκόῳ τῶν αὐτοῦ δούλων, ὃς οὐκ εἴασεν ἡμᾶς ἐπὶ πολὺ ταύτῃ κρατηθῆναι τῇ λύπῃ, ἀλλὰ μετὰ τὸ φθαρῆναι πᾶσαν ἡμῶν τὴν ἐλπίδα τὴν ἀναψυχὴν ἡμῖν καὶ παράκλησιν ἐδωρήσατο καὶ σὲ τῶν ὀρθοδόξων τὸ καύχημα καὶ στῦλον τῆς τοῦ Χριστοῦ ἐκκλησίας καὶ ποδηγέτην καὶ ἀρχηγὸν τοῦ νέου λαοῦ βάθρον τε καὶ θεμέλιον τῆς ἀρραγοῦς ἡμῶν πίστεως, τῶν ἱερέων πάντων τὴν καλλονήν, τὸν θύτην καὶ ἱερέα, ἢ μᾶλλον ἄμωμον θῦμα, εἰ θέμις οὕτως εἰπεῖν, τέθυκας γὰρ σαυτὸν ὑπὲρ ἡμῶν τῷ θανάτῳ, ἀνείλκυσε τοῦ βυθοῦ καὶ τοῖς ἀναξίοις ἡμῖν ὄψιν τὴν σὴν ἐχαρίσατο. Ὃς γάρ ποτε τὸν Δανιὴλ ἐκ τοῦ λάκκου ἐρρύσατο καὶ Ἠλιοὺ τῆς χειρὸς Ἰεζάβελ καὶ παῖδας τρεῖς τῆς καμίνου ἀβλαβεῖς διεφύλαξε καὶ ἡμῖν σήμερον τὴν ἀναψυχὴν ἐχαρίσατο ταύτην ὥστε καὶ ἡμᾶς ἀξιῶσαι χαρμονικῶς ἐν τῷ παρόντι ᾆσαι καιρῷ ἐκεῖνο, ὃ καὶ μόνον τὴν φωτοφόρον οἶδ' ἡμέραν ᾄδεσθαι, λέγω δὴ τὸ φωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ. Τίνα με οἴει γενέσθαι, ὁπόταν ταύτην ἤκουσα τὴν φωνήν, τὴν λέγουσαν ἄρτι λελύτρωσαι τῶν δεσμῶν, ὡς Μαρίαν καὶ Μάρθαν, τὰς λαβούσας ζῶντα τὸν ἑαυτῶν ἀδελφὸν ἢ μίαν τῶν γυναικῶν τῶν καθημένων τοῦ ζωοποιοῦ ἀπέναντι τάφου, αἳ παρ' ἐλπίδα τὸν Ἰησοῦν θεασάμεναι τῇ χαρᾷ συσχεθεῖσαι καὶ θάμβει ἄφωνοι διετέλουν; Ἐπῆλθε τότε λέξαι κἀμοὶ τὸ τοῦ Εὐμαίου ῥητόν, τὸ ἦλθες, Τηλέμαχε, γλυκερὸν φάος. Ἀλλ' ὦ πατέρων ἀκρότης, στάθμη τῶν μοναζόντων, κανὼν ἀρετῶν, ἱερέων ποιμήν, μαρτύρων καὶ δικαίων ἐφάμιλλε, ἀρχιερέων κλέος, ἐκκλησίας ἔρεισμα, πιστῶν ἐγκαλλώπισμα, ὡραῖσμα μοναχῶν, ἡμέτερον καύχημα, ἡμετέρας πατρίδος εὔβοτον θρέμμα, δέξαιο τὴν ἐμὴν ἀπαρχὴν εἴ σοι φίλον τὸ κατὰ δύναμιν καὶ μὴ τὴν ἐμὴν ἀναξίαν προσφορὰν ἀποπέμψῃ, ἀλλὰ τὸ θεῖον ὑπὲρ ἡμῶν ἐξευμένιζε, ὅπως σύν σοι τῶν μελλόντων ἀγαθῶν ἀπολαύσωμεν, ὧν ἀξιωθῆναι γένοιτο πάντας ἡμᾶς χάριτι καὶ φιλανθρωπίᾳ τῆς ζωαρχικῆς καὶ ἀδιαιρέτου Τριάδος, τοῦ ἀγεννήτου καὶ ἀνάρχου πατρὸς καὶ τοῦ γεννητοῦ καὶ ὁμοουσίου αὐτοῦ υἱοῦ σὺν τῷ παρὰ πατρὸς ἐκπορευομένῳ ζωοποιῷ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λόγος εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν Ἄνθιμον ἀρχιεπίσκοπον Ἀθηνῶν, τὸν ὁμολογητήν.

Τῶν διηγήσεων ἐκείνας μᾶλλον θαυμάζουσιν ἄνθρωποι, ὅσαις τῷ μεγέθει τῶν πεπραγμένων καὶ ἡ ἀπὸ τοῦ χρόνου σεμνότης πρόσεστιν, ὄγκον τινὰ τοῖς πράγμασι προστιθεῖσα καὶ πρὸς φιλοτιμίαν ὥσπερ ἐφελκομένη καὶ τοὺς ἀκούοντας καὶ τοὺς λέγοντας, εἴ γε μέλλοιεν οἱ μὲν ἐρεῖν, οἱ δ᾽ ἀκούσεσθαι θαυμασίων διηγημάτων, πρὸς τοῖς ἄλλοις καὶ τούτῳ σεμνυνομένων ὅτι δὴ παλαιοῖς ἀνδράσι καὶ πρὸ πολλοῦ κατώρθωται χρόνου. Ἐμοὶ δὲ καὶ ταῦτα μὲν ἔχειν οὐ φαύλην φαίνεται φιλοτιμίαν, οὐ μὴν διὰ τοῦτο τῶν προσφάτων ἀμελητέον, ἀδοξίαν κατεγνωκότας. Εἰ γὰρ καὶ τῷ χρόνῳ τῶν ἀρχαίων λείπεται, ἀλλὰ τοῖς ἀκροωμένοις ἴσως πρὸς ὠφέλειαν οὐκ ἔλαττον συμβαλεῖται· οὐ γὰρ οὕτως ἐρεθίζει ψυχὴν τὰ πάλαι ποτὲ πεπραγμένα, ὡς τὰ νῦν ἐπ᾽ ὄψεσιν ὥσπερ κείμενα καὶ μονονουχὶ φωνὴν ἀφιέντα, ὅτι καὶ τοῖς πάλαι καὶ τοῖς νῦν οὐκ ἀνακειμένοις οὐδὲ ῥέγχουσιν, ἀλλ᾽ ἱδρῶτι πολλῷ καὶ καρτερίᾳ πόνων ἡ τῆς ἀρετῆς προσεγένετο κτῆσις καὶ παντί γε ἔξεστι τῷ βουλομένῳ μὴ ῥαθυμεῖν τοῖς πάλαι βεβοημένοις ἐπὶ μεγίστοις ἔργοις ἐξισωθῆναι καὶ τῆς ὁμοίας τυχεῖν εὐκλείας, οὐ τῆς κάτω μόνον καὶ παρ᾽ ἡμῖν, ἧς οὐδ᾽ ἐν ἐπιθυμίᾳ γένοιντ᾽ ἂν οἱ θεοφιλεῖς καὶ σπουδαῖοι, ἀλλ᾽ ἤδη καὶ τῆς παρὰ ταῖς ἄνω δυνάμεσι, μᾶλλον δὲ τῆς παρ᾽ αὐτῷ τῷ Χριστῷ, ὃς τῶν τοιούτων ἔργων κάθηται βραβευτὴς οὐ μικροῖς τισι δώροις καὶ λυομένοις ἀμειβόμενος τοὺς ἀγωνιζομένους, ἀλλὰ μεγέθει μὲν ἅπαν ὑπεραίρουσι μέτρον, ἀπειρίᾳ δὲ καὶ ἀϊδιότητι καὶ αὐτῶν ὑπερεκτεινομένοις αἰώνων.

Τοιγαροῦν ἐπειδή γε ἴσην τὴν ὠφέλειαν ἔκ τε τῶν νέων καὶ παλαιῶν, εἰ σπουδαῖα τύχοιεν ὄντα, διηγημάτων τοῖς ἀκροωμένοις, ἐδίδαξεν οὖσαν ὁ λόγος καλῶς ποιῶν, τὰ τοῦ μακαρίου κατορθώματα διηγητέον ἡμῖν Ἀνθίμου, οὐχ᾽ ἵν᾽ ἐκείνῳ τι προσθῶμεν εἰς εὐφημίαν, οὐδὲ γὰρ ἂν δέοιτο τῶν παρ᾽ ἡμῶν ἐπαίνων, μικρῶν γε ὄντων, τῷ δήμῳ τῶν ἀγγέλων ἐπὶ τοῦ κοινοῦ δεσπότου πάντων ἀνεκεκηρυγμένος λαμπρῶς, ἀλλ᾽ ἵν᾽ ἡμῖν ὁ λόγος παράκλησις εἴη πρὸς ἀρετὴν ὡσπερεὶ ἀρχέτυπον τὸν ἐκείνου βίον ὁρῶσι καὶ πᾶσαν ἐκεῖθεν ἀναλεγομένοις καλῶν ἰδέαν.

Τὸ μὲν οὖν ἐγκωμίων χρώμενον νόμοις, ἐφ᾽ ἃ μὴ βέλτιστον διατρίβειν, μεγέθη πόλεων καὶ θέσιν ἀρίστως ἔχουσαν καὶ γῆς καὶ θαλάττης δορυφορίαν καὶ τῶν ἀναγκαίων ἁπάντων ἄφθονον χύσιν, ἤδη δὲ καὶ τῶν περιττῶν, καὶ οἰκιστῶν τε καὶ οἰκητόρων λαμπρότητα καὶ δόξαν ἔκ τινων μύθων συνειλεγμένην, ἔτι δὲ προγόνων περιφάνειαν καὶ πλοῦτον καὶ πολιτικὰς ἀρχὰς καὶ τιμὰς δημοσίους καὶ τ᾽ ἄλλα, οἷς χαίρουσιν ἂν οἱ ταπεινοὶ καὶ ταπεινὰ φρονοῦντες καὶ μηδὲν ὑπεραρθῆναι τῆς γῆς δυνάμενοι, εὐλόγως μοι δοκῶ παρήσειν, οὐ μόνον ὅτι προὔργου τῶν τοιούτων οὐδὲν ἐκείνῳ, ἀλλ᾽ ὅτι μή δ᾽ ἡμῖν

ὁ λόγος ὥσπερ ἐν συγγραφῇ πρὸς πάνθ᾽ ὅσα φιλοτιμίαν ἐκείνῳ φέρει τὴν ὁρμὴν ἔχει. Οὐδὲ γὰρ ἐκεῖνον ἑαυτοῦ λαμπρότερον ἐκ τῶν λόγων ἀποδείξειν τὸ προκείμενον ἡμῖν, ἀλλ᾽ ἵν᾽ ἐκ τῶν ἐκείνῳ πεπραγμένων βελτίους αὐτοὶ γενόμενοι πρὸς τὴν κτῆσιν ἀναπτερωθῶμεν τοῦ τελεωτάτου τῶν ἀγαθῶν. Τοῦτο δέ ἐστι πάντα ῥύπον ἀποθεμένους καὶ καθάραντας ἑαυτοὺς ὥς ἐστι μάλιστα, πρὸς ὑποδοχὴν τῶν θείων ἀπαυγασμάτων τὴν ἐκεῖθεν ἀκτῖνα δέξασθαι καὶ τῷ φωτὶ τῆς ἀληθείας καταυγασθῆναι καθ᾽ ὅσον ἐφικτὸν μετασχόντας τῆς ὄντως μακαριότητος. Οὐκοῦν ἐπειδὴ τῶν ἐκείνου πράξεων ὥσπερ εἰκόνα τινὰ προστήσασθαι δεῖ, ὡς ἂν πρὸς ἐκείνην ἀποσκοποῦντες πρὸς μίμησιν ὀρθοῦ βίου καὶ σώφρονος ἐθίζωμεν ἑαυτούς, ἐκείνου μόνου μνημονευτέον, καὶ τὰ ἐκείνου διηγητέον τῶν περιττῶν καὶ ματαίων ἀπεχομένους, ἵνα μὴ ἐν τοῖς παρέργοις τὴν ἀκοὴν ἀποκναίσαντες οὐ σφόδρα περιτύχοιμεν προθύμοις ἐν τοῖς καιρίοις καὶ τοῖς ἐξ ὧν ὑπάρχει πολλὴν ὠφέλειαν καρπωσαμένοις ἐνθένδε ἀναχωρεῖν εὐδαίμονας ὄντας καὶ λεγομένους.

Ἀνὴρ γὰρ ἐκεῖνος ἐκ πατέρων φὺς οἵων τὸν τοιοῦτον εἰκός, οὐδὲ γὰρ τοῦτο μικρὸν ἐπὶ τὸ πρὸς ὕψος ἀρετῆς ἀρθῆναι οἴκοθεν ἔχοντα τὸ παράδειγμα τῶν καλῶν, ἔδειξεν εὐθὺς ἀπὸ γραμμῆς οἷος ἔσται τὸ φρονοῦν τῆς ἡλικίας ἀπολαμβάνων· οὐ γὰρ ἔχαιρεν ἐφ᾽ ἃ χαίρουσι παῖδες ἁπαλότητι φύσεως ἐπτοημένοι περὶ μικρά, ἀλλ᾽ ἐν ἀτελεῖ πάνυ τῇ ἡλικίᾳ τελείων εἴχετο φρονημάτων τὰ κάλλιστα τῶν ἐν ἀνθρώποις κτήσασθαι τιθέμενος διὰ σπουδῆς καὶ ἃ μόνα τῶν ἐχόντων ἐστὶ κυρίως· δόξα μὲν γὰρ καὶ πλοῦτος καὶ χρημάτων καὶ κτημάτων περιουσία οὐ τῶν ἐχόντων μᾶλλόν ἐστιν ἢ τῶν μὴ κεκτημένων, ἄλλοτε ἄλλως φερόμενα καὶ μεταρριπτούμενα καθάπερ ἐν κύβοις, ἡ δὲ τῆς σοφίας κτῆσις μόνιμός ἐστι καὶ βεβαία, ὁμοίως εὖ πράττοντι παραμένουσα καὶ κακῶς, μᾶλλον δὲ πάντα πρὸς τὸ κρεῖττον διατιθεῖσα καὶ μηδὲν ἐῶσα τῶν προσπιπτόντων λυπεῖν, ἀλλὰ πᾶσι χρωμένη καὶ τοῖς δοκοῦσιν ἐναντιωτάτοις πρὸς εὐδοκίμησιν. Ὅπερ οὖν κἀκεῖνος συνιδὼν εὐθὺς ἐξ ἀρχῆς πρὸς τὴν ταύτης κτῆσιν ὅλον ἐπιδέδωκεν ἑαυτόν, οὐ ταύτην λέγω μόνον τὴν ἐλευθέραν καὶ παριστῶσαν Θεῷ καὶ ἣ τῷ τῆς σοφίας ὀνόματι κυρίως προσαγορεύεται ὁμοίους Θεῷ ποιοῦσα τοὺς αὐτῇ χρωμένους ὡς ἐφικτόν, ἀλλὰ καὶ τὴν ἔξω καὶ τῆς πρώτης παιδίσκην, ἣν ἄγονόν τε καὶ στεῖραν καὶ ἀεὶ μὲν ὠδίνουσαν, μηδέποτε δὲ ζωογονοῦσαν τὸν τοκετὸν τῶν παρ᾽ ἡμῖν σοφῶν τις προσηγόρευσεν εὖ εἰδώς, ἣ διὰ τοῦτο σπουδάζεσθαι δικαία μόνον, ἵν᾽ εἴη πρὸς τὴν ὄντως χειραγωγὸς ὑπερείδουσά τι καὶ τὰ τελευταῖα τῶν αὐτῆς ἐνδυμάτων, ταῦτα δ᾽ ἂν εἴη τὰ φαινόμενα καὶ ὑποπίπτοντα τῇ αἰσθήσει, ὑπανέχουσα δουλικῶς. Προσθήσω δ᾽ ἔτι καὶ ἵν᾽ ἔχοιεν οἱ ταύτης ὑπερορῶντες ὅσον τὸ μέσον ἀμφοτέρων εἰδέναι ὡς ἂν τῆς μὲν πρώτης ἔχοιντο πάσῃ δυνάμει ὡς οὐκ ἐνὸν ἄλλως ἑνωθῆναι Θεῷ καὶ τῷ ἐκεῖθεν συγγενέσθαι φωτί, τῆς δ᾽ ὑπερορῷεν, ὡς μηδὲν πρὸς τελειότητα δυναμένης εἰσενεγκεῖν, ἀλλ᾽ ἄχρι μὲν τῆς τῶν κτισμάτων γνώσεως χει-

ραγωγούσης, περαιτέρω δὲ προϊέναι μὴ δυναμένης εἰ δὴ καὶ τούτοις ἐπιστήσειεν ἀσφαλῶς καὶ μὴ πρὸς πλάνας τινὰς καὶ ματαίας ἀποβουκολήσειε δόξας, ὃ καὶ τῶν Ἑλλήνων παῖδες παθόντες φαίνονται, ἐξ ὧν ἔδει Θεὸν εἰδέναι, ἐκ τούτων ἀγνοήσαντες μᾶλλον καὶ λατρεύσαντες τῇ κτίσει, παρὰ τὸν κτίσαντα. Ἀλλ' οὐχὶ καὶ ὁ νῦν εὐφημούμενος πέπονθέ τι τοιοῦτον ἢ γοῦν ἐμέλλησεν, ἀλλὰ τάχει φύσεως σπουδὴν ἄριστα συνεισενεγκὼν ἐν ὀλίγῳ μὲν τῆς ἔξω παιδείας συνελέξατο τοσοῦτον, ὅσον οὐδ' ἂν ἕτερος τῶν ἐν βιβλίοις κατασαπέντων, πρὸς δὲ τὴν ἐλευθέραν τάχιστα μετετάξατο, ὥσπερ αἰσχυνόμενος τῆς ἀγόνου καλεῖσθαι παῖς, Μωσεῖ τῷ μεγάλῳ χρώμενος παραδείγματι, ὃς τὸ συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ τῆς Φαραὼ θυγατρὸς ἠλλάξατο παῖς καλεῖσθαι διὰ Φαραὼ Θεὸς ἐχειροτονήθη παρὰ Θεοῦ καὶ τὴν προστασίαν ἐπιστεύθη τῶν ὁμοφύλων καὶ διασχὼν τὸν γνόφον καὶ τῆς νεφέλης εἴσω γενόμενος οὐκ ἤκουσε μόνον, ἀλλὰ καὶ πλαξὶν ἐδέξατο νόμους θείους Θεοῦ δακτύλῳ κεχαραγμένους. Οὐ μὴν οὐδ' ἕως ἔτι διδασκαλείοις ἐφοίτα καὶ τοῖς τεκοῦσι συνῆν, καίτοι πάνυ νέαν ἄγων τὴν ἡλικίαν, τῶν τῆς ὄντως φιλοσοφίας καλῶν ἠμέλει, ἀλλ' αὐτὸς ἑαυτῷ γενόμενος ἄριστος παιδοτρίβης πρὸς ἐκεῖνα τῶν μαθημάτων ἐρρύθμιζεν ἑαυτόν, ἃ συνοίσειν ἔμελλεν οὐ μικρὸν πρὸς ἕξιν τῆς τελειότητος καὶ ἃ μέρος ᾔδει φιλοσοφίας, ὅσον εἰς πρᾶξιν ἥκει καὶ οἷόν τινα προθύρων ἐπέχει λόγον. Αὐταρκείας γὰρ αὐτῷ θεσμοὺς ἐπετίθει, ἅπαν μὲν ἡδονῆς ἐξορίζων πάθος, ὡς οὐ καλὸν ἀνδρί γε ὄντι θηλύνεσθαι καὶ πάθεσι δουλεύειν ἀνελευθέρως, τῶν δ' ἀναγκαιοτάτων προσαπτόμενος μόνον ὁμοίως ἐν ἐνδύμασι καὶ τροφαῖς καὶ τοῦτο τακτῇ περιόδῳ χρόνου, ὥσπερ αἰσχυνόμενος εἴ γε καὶ τοῖς ἀναγκαίοις ἀδεῶς χρῷτο, ἀλλὰ μὴ πεφεισμένως καὶ τούτοις καὶ ὅσον τὸν τῆς σαρκὸς συνέχειν δεσμὸν αἰδοῖ τοῦ συνδήσαντος, καί τοι γε οὐδ' ἀγῶνος χωρὶς ἀνύειν τὰ τοιαῦτα ἐξῆν αὐτῷ, ἀλλ' ἔδει τῆς πρὸς τὴν φύσιν πάλης, τὴν πρὸς τὴν τεκοῦσαν ἰσχυροτέραν εἶναι πολλῷ ὑπὸ πολλῆς φιλοστοργίας ἐπικειμένην καὶ τί μὲν οὐ λέγουσαν, τί δὲ οὐ ποιοῦσαν, ὥστε κρεῶν τὸν παῖδα γεύεσθαι πείθειν, οἷς ἐκεῖνος ἐκ πρώτης ἡλικίας εὐθὺς ἀπείπατο, τῶν ἐν Βαβυλῶνι παίδων ζηλώσας τὴν ἀρετήν, ὧν καὶ τῆς φιλοθεΐας κληρονόμος ἔμελλεν εἶναι, ἕως ἐκεῖνος ὀρθοῖς καὶ δικαίοις πρὸς αὐτὴν χρησάμενος λόγοις ἤδη καὶ τοῦ μέτρου πολὺ διὰ τὸ φίλτρον ἐκφερομένην καὶ πληγὰς ἐπιτιθεῖσαν μὴ πειθομένῳ, ἔπεισε καλῶς μὴ λίαν περιέχεσθαι τῆς σαρκός, μηδὲ μέγα τι τὴν τρυφὴν καὶ τὴν βλακείαν νομίζειν, τοὐναντίον μὲν οὖν καὶ κακῶν ἔσχατον ἐκ τῶν ὑψηλοτέρων καὶ σεμνοτέρων ἐπὶ τὴν γῆν κατασπῶσαν καὶ χοιρώδη βίον τοῦ προσήκοντος ἀνθρώποις παρασκευάζουσαν ἀνθαιρεῖσθαι. Οὕτως ἦν καὶ πρὶν καθαρῶς ἑλέσθαι φιλοσοφίαν τὰ φιλοσοφίας πράττων οὐκ ἐν παρέργῳ, ὥσπερ οἱ τὰ τακτικὰ μελετῶντες καὶ πρὶν ἀντικαταστῆναι τοῖς πολεμίοις, πᾶσιν ἑαυτὸν ἐξασκήσας οἷς ἔμελλεν ὕστερον χρώμενος ὥσπερ ὅπλοις τοὺς ἀντιτεταγμένους νικᾶν καὶ στεφανίτης ἀναγορεύεσθαι.

Καίπερ δὲ οὕτω καὶ πρὶν εἷς τῶν μοναστῶν τελεῖν τὸν χορὸν ἐν τοῖς καλοῖς ἑαυτὸν ἅπασιν ἐξασκήσας οὐδ' οὕτως ἠνέσχετο τὸ τῆς ψυχῆς εὐγενὲς παραναλίσκειν ἐν τοῖς μικροῖς. Λέγω γὰρ οὖν μικρὰ αὐτὸν ἑαυτῷ συγκρίνων καὶ τοῖς ὕστερον ὑπερφυέσι τὰ πρῶτα παρατιθείς, ἃ καίτοι τὸ θαυμάζεσθαι δικαίως ἔχοντα παρ' αὐτοῖς, παρὰ τῶν ὕστερον ἀφαιρεῖται τὸ πρωτεῖον ἔχειν, ἐπειδὴ καὶ τῶν λαμπρῶν τε καὶ θαυμασίων θαυμασιώτερα καὶ μείζω ἐστὶν εὑρεῖν, ἀλλὰ πάντων ὑπερφρονήσας ὡς οὐκ ἀξίων ὄντων κωλύειν πρὸς ἣν ἐπόθει φιλοσοφίαν καὶ ἀποστολικῶς εἰπεῖν πάντα σκύβαλα ἡγησάμενος, ἵνα Χριστὸν κερδήσῃ, τῇ τῶν ἑαυτοὺς ἀναθέντων Θεῷ χορείᾳ συνέταξεν ἑαυτόν, ὁ καὶ πρὶν ἀνατεθειμένος, εἰ καὶ μὴ πρὸ γεννήσεως ὥσπερ ὁ Σαμουήλ. Οὐ μὴν οὐδ' ἐν τούτῳ τοῖς πολλοῖς ὁμοίως ἠνέσχετο τὰ τίμια μετελθεῖν, οὐδ' ἀσόφως τῆς πρὸς φιλοσοφίαν φερούσης ἅψασθαι, ὥσπερ νῦν ὁρῶ τοὺς πολλοὺς πρὶν διδαχθῆναι τὸ τῆς διδασκαλίας ἑαυτοῖς μέτρον περιτιθέντας καὶ πρὶν τὸν οὐδὸν ὑπερβῆναι τῶν ἀδύτων εἴσω νομίζοντας γεγενῆσθαι. Ἀλλ' οὐχὶ κἀκεῖνος οὕτω περὶ τῶν μεγάλων ἔγνω μικρολόγως διανοεῖσθαι, ἀλλ' ὥσπερ ἔδει βέλτιστα συνιδὼν ὡς οὐδὲ τῶν τεχνῶν τούτων δή τινα τῶν μικρῶν καὶ περὶ φαῦλα ἠσχολημένων πρὸς ἀκρίβειάν ἐστιν ἐξασκῆσαι, εἰ μὴ τοῖς ἐν περινοίᾳ ταύτης γεγενημένοις ὁδηγοῖς πρὸς τὴν ἀνάληψιν χρήσαιτο, μή τοί γε δὴ τὴν πασῶν ὑψηλοτέραν καὶ ἥνπερ δὴ τεχνῶν τέχνην οἱ περὶ ταῦτα δεινοὶ καὶ ὀνομάζουσι καὶ νομίζουσι τῶν ταύτην προωδευκότων, τῷ βελτίστῳ φέρων ἐκδίδωσιν ἑαυτὸν τάξιν ἀρίστην τῆς πάντα ταττούσης καὶ πρὸς τὸ δέον ῥυθμιζούσης τιθέμενος φιλοσοφίας. Καὶ πολλοὺς μὲν πόνους ὑπήνεγκεν ἐν τῷ σώματι, πλείους δ' αὖ τούτων ἐν τῇ ψυχῇ τοῖς πάθεσιν ἀνθιστάμενος καὶ πᾶν εἶδος κακίας καὶ μοχθηρίας μετὰ πολλῆς σφοδρότητος ἀπελαύνων ἢ μηδὲ τὴν ἀρχὴν ἐγγίζειν ἐῶν. Οὐ μὴν ἀλλ' ἐπεὶ θαυμαστός τις καὶ ὑπὲρ ἡμᾶς, ὃν εἱλόμεθα, τῶν λόγων ἀγὼν δοκεῖ, ὑμεῖς οἱ τὰ ἐκείνου σαφῶς εἰδότες κουφίσατέ μοι τὸν πόνον περὶ τὸν λόγον κάμνοντι. Καὶ ὁ μὲν θαυμαζέτω τὸ οἷον ἄϋλον καὶ ἀσώματον, ὀλίγα προσαπτόμενον τῶν γηΐνων, ὅτι μὴ πᾶσα ἀνάγκη, ὁ δὲ τὸ ἐν πόνοις καρτερικὸν καὶ γενναῖον. Καὶ τούτων οἱ μὲν τοὺς ἐν νηστείαις καὶ ἀϋπνίαις καὶ προσευχαῖς, ἄλλοι δὲ τοὺς ἐν πάσῃ διακονίᾳ· οὐδὲν γὰρ οὕτως εὐτελές ἐστι καὶ μικρόν, ὃ μὴ μέγιστον ἦν ἐκείνῳ καὶ μετὰ πλείονος ἐπράττετο σπουδῆς, ὁ δὲ τὸ πρὸς πάντας ἥμερον καὶ φιλάνθρωπον ὡς δοκεῖν ἅπαντας ἐν τῇ ψυχῇ περιφέρειν, ὑφ' οὗ τοῖς ἐντυγχάνουσιν οὕτως ἦν ποθεινός, ὡς ῥᾷον εἶναι ἑαυτῷ τινα ἀπεχθάνεσθαι ἢ ἐκείνῳ, ὁ δὲ τὸ ταπεινόν τε καὶ ἄτυφον, οὐ καὶ τῶν ἄλλων μᾶλλον αὐτῷ περιῆν ὑπερέχοντας ἑαυτοῦ πάντας λογιζομένῳ καὶ τὸ δεσποτικὸν ἐκεῖνο παράγγελμα σαφῶς ἐπὶ τῶν ἔργων ἀποπληροῦντι πάντα μὲν τὰ διατεταγμένα ποιοῦντι, ἀχρεῖον δ' ἑαυτὸν δοῦλον ἀποκαλοῦντι. Τὸ δὲ δὴ μέτριον αὐτῷ τοῦ σχήματος καὶ κατεσταλμένον, τὸ δ' εὐπροσήγορον ἐν ὁμιλίαις, τὸ δὲ ἁπλοῦν τοῦ ἤθους καὶ ἀπερίεργον, τίς οὕτως ἀπειρόκαλος ὥστ' ἄνευ θαύματος παρελθεῖν. Ἀλλὰ μὴν

τὸν τοσούτων ἀγαθῶν χορῷ περιηνθισμένον μὴ μέγα φρονῆσαι μηδ' ἀπαλλαγὴν τοῦ ὑφ' ἑτέρῳ ζητεῖν τετάχθαι, ἀλλ' ἢ διὰ πάσης ἐλευθερίας τὴν διὰ Χριστὸν ἡγεῖσθαι δουλείαν καὶ τοῦτ' οὐκ ἐπὶ δύο καὶ τρισὶ καὶ δὶς τοσούτοις, ἀλλ' ἐφ' ὅλοις ὀκτὼ ἔτεσι πρὸς τοῖς εἴκοσι, ποίαν ἀπολείπει καλοκαγαθίας ὑπερβολήν. Ἀλλ' ὅταν εἰς τὴν τῶν τοσούτων πόνων ἀποβλέψω καὶ τῶν καμάτων ἐπικαρπίαν καὶ τοὺς τῆς γνώσεως θησαυρούς, οἷς πλουτοῦσιν οἱ τῶν θείων ἐνταλμάτων ἐσχολακότες τῇ ἐργασίᾳ καὶ τὸν Θεὸν ἔνοικον ἐσχηκότες τῷ πάσης ὑλικῆς ἐμπαθείας ἐκκεκαθάρθαι καὶ ἴδω τὸ βάθος τῶν νοημάτων καὶ μυστήρια Θεοῦ λεγόντων ἀκούσω ἐκπλήττομαι μὲν Θεοῦ φιλανθρωπίαν ὀστρακίνοις σκεύεσι θησαυροὺς σοφίας τοσούτους ἐντεθεικότος, μακαρίζω δὲ τοὺς εὐτυχηκότας τῶν ἀγαθῶν καὶ τούτων σφόδρα μὲν εἶναι βούλομαι καὶ αὐτός, ἀσθενείᾳ δὲ ψυχῆς ἀπολειπόμενος, ὃ λεῖπόν ἐστι, θαυμάζω τοὺς ἀνδρείως ἠγωνισμένους καὶ τῶν ἐπάθλων ἄγαμαι καὶ τὸ μέγεθος καὶ τὸ κάλλος καὶ τοῖς τετυχηκόσι συμπανηγυρίζω τε καὶ συνήδομαι καὶ τούτους οἰκειοῦμαι ὑφ' ἡδονῆς, ὥσπερ ἐν τοῖς θεάτροις οἱ σφόδρα φιλοθεάμονες. Ταύτης καὶ ὁ τῷόντι θαυμαστὸς καὶ τοῦ παντὸς ἐμοὶ τιμώμενος, οἶδα δ' εὖ ὅτι καὶ πᾶσιν ὑμῖν, τῆς ἀμοιβῆς ἐπέτυχεν Ἄνθιμος τῆς πολλῆς περὶ Θεοῦ εὐνοίας καὶ τῆς δι' ἐκεῖνον κακοπαθείας μυστήρια Θεοῦ διδαχθεὶς καὶ τῷ τῆς θεολογίας ὄρει καλῶς προβὰς καὶ νόμους Θεοῦ δεξάμενος οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίναις, ὅ φησι Παῦλος, οὐ τοὺς ἔξωθεν μόνον ὅσον πρὸς λατρείαν φέρει καὶ τὴν ἐκπλήρωσιν τῶν θείων παραγγελμάτων, ἀλλὰ καὶ ὅσον ἔνδον καὶ τῶν ἀποκρύφων ἔχεται τῆς θεολογίας θεωρημάτων καὶ Ἰσραὴλ τοῦ νέου τὴν ὁδηγίαν ἐνεπιστεύθη καὶ τῆς ἁγίας γῆς, ἣν πραέων πατοῦσι πόδες, κατέσχε τὴν κληρουχίαν ἐνὶ τούτῳ καὶ Μωσέα τὸν μέγαν εἰ μὴ τολμηρὸν εἰπεῖν παρελάσας τῷ μὴ Σιὼν τῆς νοουμένης ἀπολειφθῆναι, ἐπειδὴ Θεοῦ προνοίᾳ μειζόνων πραγμάτων ἕνεκα μὴ τῆς αἰσθητῆς ἐκεῖνος ἐπιβῆναι συνεχωρήθη.

Οὐ μὴν ἀλλ' ἐπειδή περ ἐν τούτῳ γεγένημαι τῷ μέρει τοῦ λόγου καὶ δεῖ καθάπερ τινὰ πίνακα τῆς ἐκείνου περὶ τὴν θεολογίαν ἀκριβείας ὑμῖν προθῆναι, φέρε μικρόν τι τῷ λόγῳ προσδιατρίψωμεν, ὡς ἂν ἐγώ τε τοῖς περὶ ἐκείνου λόγοις καὶ διάνοιαν καὶ γλῶτταν καθαγιάσω καὶ ὑμεῖς ἡδίους γένησθε τοῖς σφόδρα φίλοις διηγήμασιν ὑπέχοντες ἀκοάς.

Ἦν ὅτε τὸ ἡμέτερον ἤνθει γένος καὶ παντοίοις ἐκόμα τοῖς ἀγαθοῖς καὶ οὐδενὸς ἐνέδει πρὸς τὴν ἐσχάτην μακαριότητα, οὐχ ὅτι παράδεισον ᾤκει μόνον καὶ βίον ἄλυπον εἶχε καὶ κακίας ἁπάσης ἀπηλλαγμένον, ἀλλὰ καὶ τῷ πολλῆς ἀπολαύειν παρὰ Θεοῦ τιμῆς καὶ θείων χαρισμάτων ἔμπλεων εἶναι καὶ δόξῃ τῇ ἄνωθεν περιστέλλεσθαι, δι' ἣν οἱ προπάτορες ὄντες οὐκ ᾐσχύνοντο γυμνοί· τί γὰρ ἔδει φαύλων τε καὶ γηίνων τοῖς ἀφθάρτων εὐποροῦσι καὶ οὐρανίων τῶν ἐνδυμάτων; Ἐπεὶ δὲ τῇ κακίστῃ τοῦ ὄφεως ἐπείσθημεν συμβουλῇ καὶ διὰ τῆς ἡδονῆς κλαπέντες τῶν θείων κατωλιγωρήσαμεν ἐνταλ-

μάτων καὶ τοῦ φυτοῦ τῆς γνώσεως ἡψάμεθα μὴ κατὰ καιρὸν οὐδ' ἐπιτηδείως, τῆς μὲν τρυφῆς ἐκείνης ὡς οὐκ ἄξιοι καὶ τῆς μακαριότητος ἐκβεβλήμεθα, φθορὰν δὲ τῆς ἀϊδιότητος ἠλλαξάμεθα καὶ κακῶν φορὰν τῆς πρῴην εὐημερίας. Καὶ οὐδὲ μέχρι τούτων ἡμῖν ἔστη τὰ τῆς κακοπραγίας, ἀλλ' ὁδῷ βαδίζοντος ἀεὶ τοῦ κακοῦ καὶ πρὸς τὸ χεῖρον ἐπιδιδόντος καὶ τοῦ Θεὸν εἰδέναι παντάπασιν ἀπέστημεν, τὸν μόνον ἀληθινὸν Θεόν, καὶ ἐλατρεύσαμεν τῇ κτίσει παρὰ τὸν κτίσαντα ἡλίῳ καὶ ἄστράσι προσκυνοῦντες, ἔστι δ' ὅπου καὶ ζῴοις ἀλόγοις καὶ κνωδάλων καὶ ἑρπετῶν τοῖς ἀτιμοτάτοις. Καὶ οὐ μόνον ἀλλ' ἤδη καὶ λίθοις καὶ ξύλοις τῷ λίθῳ λέγοντες πατήρ μου εἶ σὺ καὶ τῷ ξύλῳ σύ με ἐγέννησας κατὰ τὴν Γραφήν· οὐ γὰρ ἤρκεσε τῷ φθονερῶς ἡμᾶς ἀποστήσαντι τοῦ Θεοῦ, εἰ μὴ καὶ λίθων ἀναισθητοτέρους ἐργάσαιτο καὶ ξύλων ἀτιμοτέρους, ὧν οὐκ ἤνεγκε τὴν τιμὴν χειρὶ Θεοῦ καὶ εἰκόνι τετιμημένων. Οὕτω δὲ κατενεχθέντας ἡμᾶς καὶ πρὸς τοσοῦτον κακίας ἐληλακότας ἐπεὶ παριδεῖν οὐ Θεοῦ, πέμπονται μὲν προφῆται πρὸς βοήθειαν ἡμετέραν, δίδοται δὲ νόμος ἀνακόπτων τὴν μοχθηρίαν καὶ τῶν ματαίων σεβασμάτων ἡμᾶς ἀπάγων καὶ πρὸς ἑνὸς Θεοῦ τοῦ πλάσαντος ἡμᾶς καὶ συνέχοντος καὶ συντηροῦντος προνοίας λόγοις τὴν ἐπίγνωσιν ἐπανάγων καὶ πάντα φιλανθρώπως πράττεται τὰ συντείνοντα πρὸς σωτηρίαν τὴν ἡμετέραν ὡς ἂν μηδεμία πρόφασις ἀπολείποιτο τῷ ἀμπελῶνι Κυρίου τὴν ἀκαρπίαν ἐγκαλουμένῳ, ὡς ἐξεῖναι λέγειν τῷ γεωργῷ τῶν καλῶν τί ἔδει με ποιῆσαι τῷ ἀμπελῶνί μου καὶ οὐκ ἐποίησα, ἵνα ποιήσῃ σταφυλήν, ἐποίησε δὲ ἀκάνθας. Ἐπεὶ δὲ πρὸς τοσαύτην κακίας ῥύμην τῶν προλαβόντων ἤρκεσεν οὐδέν, ἀλλ' ἐπὶ πάντας ἐβασίλευσεν ἡ ἁμαρτία καὶ πάντων ἴσχυσεν ἐπιλαβέσθαι, αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος, δι' οὗ τὰ πάντα ἐγένετο τὴν ἰδίαν εἰκόναπ ατουμένην ἀτίμως καὶ περιυβρισμένην ὁρᾶν μὴ φέρων καιροῖς ἰδίοις, κατὰ Παῦλον, ἐπεδήμησε πρὸς ἡμᾶς εὐδοκίᾳ Πατρὸς καὶ συνεργίᾳ Πνεύματος ἁγίου καὶ σὰρξ ἀτρέπτως γέγονεν ὁ ἄϋλος καὶ ἀσώματος καὶ ψυχῇ νοερᾷ παραπλησίως ἡμῖν ἐμίχθη καὶ νέος Ἀδὰμ εἶναί τε καὶ λέγεσθαι κατεδέξατο τῷ πρωτοπλάστῳ τοῖς πᾶσιν ὅμοιος χωρὶς ἁμαρτίας καὶ τῆς πτωχείας οὐ παρῃτήσατο καὶ τῆς ἀδοξίας τῆς ἡμετέρας μεταλαβεῖν, ἵν' ἡμεῖς τοῦ πλούτου τῆς αὐτοῦ φιλανθρωπίας ἐμφορηθῶμεν καὶ πρὸς τὴν ἀρχαίαν ἐπανέλθωμεν δόξαν, μᾶλλον δὲ καὶ μείζονος καὶ θαυμασιωτέρας ἐπιλαβώμεθα, ὅσῳ τότε μὲν ἐν μετουσίᾳ μόνον τῶν παρ' αὐτοῦ χαρισμάτων ἦμεν, νυνὶ δὲ τὴν ἡμετέραν φύσιν λαβὼν αὐτὸς ὁμόθεον ἀπειργάσατο καὶ συνεδρίᾳ πατρὸς ἐτίμησε καὶ προσκυνεῖσθαι παρὰ πάσης κτίσεως ἐπίσης πατρὶ καὶ πνεύματι παρεσκεύασεν. Ἀλλὰ τὴν τοσαύτην δόξαν καὶ τῆς τιμῆς τὸ μέγεθος, ἧς ἀπελαύσαμεν Θεοῦ ἐπιδεδημηκότος ἡμῖν, καὶ τὴν τῶν ἀπορρήτων ἀγαθῶν κοινωνίαν καὶ τὴν τῆς φύσεως θέωσιν πῶς ἦν ἐνεγκεῖν τὸν ἐξ ἀρχῆς βάσκανον καὶ πολέμιον γένει τῷ ἡμετέρῳ καὶ μηδέποτε κόρον ἐσχηκότα τῶν ἡμετέρων κακῶν, ἀλλ' ἀεὶ τοῖς προλαβοῦσι μείζω καὶ χαλεπώτερα ἐξευρίσκοντα, ἵν' ἑνί γε τῷ τρόπῳ τῆς

ἀληθείας παρασπάσας ἡμᾶς τοῖς αὐτῷ τεταμιευμένοις ὑποβάλῃ κολαστηρίοις; Οὔκουν οὐδὲ ἠνέσχετο, ἀλλὰ καίτοι σειραῖς Ἅδου καὶ ζόφῳ παραδεδομένος ὑπὸ τοῦ τὸν κόσμον νενικηκότος Χριστοῦ καὶ ἐκνενευρισμένος καὶ τὴν καθ᾽ ἡμῶν ἰσχὺν περιῃρημένος τῆς ἀρχαίας οὐκ ἐπελάθετο διπλόης καὶ πανουργίας καὶ τῶν καθ᾽ ἡμῶν αὐτοῦ τεχνασμάτων ὅσῳ καὶ πονηρότερος αὐτὸς ἑαυτοῦ γέγονεν ἐκ τῆς ἡμετέρας εὐδοκιμήσεως πρὸς μείζω τὴν μανίαν ἐξαφθείς, ὥσπερ τῶν θηρίων τὰ πονηρότατα βληθέντα μᾶλλον ἐρεθίζεται πρὸς ἄμυναν τοῦ βαλόντος, οὐ μὴν τὴν αὐτήν, ἥνπερ καὶ πρότερον, πρὸς τὴν ἡμετέραν ἐξαπάτην ἐδοκίμασεν ἐλθεῖν, ἀλλὰ τὸ μὲν παντάπασιν ἀποστῆναι πείθειν Θεοῦ μὴ ῥᾷον εἶναι μᾶλλον δὲ ἀδύνατον συνορῶν· ᾔδει γὰρ τοῦ ἐπὶ γῆς ὀφθέντος καὶ τὴν ἀνθρωπείαν φύσιν τῇ θείᾳ καταμίξαντος ἀσυγχύτως ἄμαχον οὖσαν τὴν ἰσχύν, ὃς γε καὶ πρὶν αὐτοῦ πεῖραν σχεῖν καὶ τὸ κατὰ πάντων κράτος ἀφαιρεθῆναι, οἶδά σε τίς εἶ, ἔλεγεν ὁ τοῦ Θεοῦ υἱός, τὸ μέντοι φαύλως περὶ αὐτοῦ δοξάζειν καὶ τὴν μόνην ἄτμητον φύσιν κακῶς καὶ ἀθέως συνάπτειν καὶ διαιρεῖν πρὸς τῷ μηδὲν πρὸς ἀσεβείας ἔλαττον εἶναι λόγον ἔτι ῥάδιον ὄν, τοῖς γὰρ ὠσὶν ἐνίων ὥσπερ καὶ πρότερον τῆς Εὔας τὰς κατὰ Θεὸν βλασφημίας ὑποψιθυρίσας εὗρεν ἑτοίμους πρὸς ὑποδοχὴν ἢ μᾶλλον προσεξευρίσκοντας καὶ συμφιλοτιμουμένους αὐτῷ τὴν φλόγα τῆς ἀσεβείας ἐπὶ μέγιστον ἐξαίρειν, ταύτῃ δὴ καὶ προσέβαλλεν ἡμῖν διὰ τῶν σαθροτέρων ὥσπερ ἐπιτιθέμενος καὶ πολλὰς εἰσήγαγε πλάνας καὶ δόξας ἐν τοῖς περὶ Θεοῦ πιστευομένοις καὶ λεγομένοις οὐ τῇ ἀληθείᾳ μόνον, ἀλλὰ καὶ σφίσιν αὐταῖς ἐναντιωτάτας καὶ τοῦ προσήκοντος ἐπίσης ἀποπιπτούσας. Καὶ οἱ μὲν αὐτῶν τὴν Τριάδα συναιροῦντες κακῶς οὐ πραγματικὴν εἰσῆγον τὴν διαφορὰν τῶν προσώπων, ὡς εἶναι τὸν Θεὸν ἐν μιᾷ οὐσίᾳ διακεκριμένον τρισὶ προσώποις ἑκάστου μετὰ τῆς ἰδιότητος καὶ τὴν ὑπόστασιν ἰδίαν ἔχοντος καὶ ὄντος Θεοῦ τελείου, εἰ καὶ μὴ τρεῖς, ἀλλ᾽ εἷς τὸ λατρευόμενον ἡμῖν ἐστι Θεός, ὀνόματα δὲ μόνον εἶναι πραγμάτων ἔρημα, κακῶς ἐνόουν μηδεμίαν ἔχοντα πρὸς ἄλληλα τὴν ἀναφορὰν ἢ τὴν σχέσιν, ὡς τὸν αὐτὸν ποτὲ μὲν πατέρα, ποτὲ δὲ υἱόν, ποτὲ δὲ πνεῦμα ἅγιον καλεῖσθαι, οἱ δὲ παντάπασιν ἀπεναντίας καὶ ὅ φασι τοῖς προσώποις ἐκ διαμέτρου μὴ τοῖς προσώποις μόνον ἀλλὰ καὶ τῇ οὐσίᾳ τὸν Θεὸν ἔλεγον διαιρεῖσθαι εἰς ἐκφύλους ἀνομοιότητας κατατέμνοντες οὐδὲν ἧττον εἰ μὴ καὶ μᾶλλον τῶν προτέρων ἀσεβοῦντες, καὶ τῷ μὲν πατρὶ τὸ ἀγέννητόν τε καὶ ἄναρχον ταὐτὸν δ᾽ εἰπεῖν ἄκτιστον ἀπονέμοντες μόνῳ, τὸν υἱὸν καὶ τὸ πνεῦμα κατήγαγον εἰς τὴν κτίσιν, μὴ εἶναί ποτε καὶ χρονικὴν ἀρχὴν ἐσχηκέναι καὶ τοιαῦτά τινα δογματίζοντες κακῶς καὶ ἀθέως, εἰ καὶ τῶν λοιπῶν κτισμάτων πρῶτον τῇ τε ἀξίᾳ καὶ τῷ χρόνῳ τὸν υἱὸν ἔλεγον εἶναι καὶ δι᾽ αὐτοῦ πάνθ᾽ ὡς δι᾽ ὀργάνου γεγενῆσθαι τὰ μετ᾽ αὐτόν, καὶ τό γε εἰς αὐτοὺς ἧκον τῇ κτίσει λατρεύειν ἀναπείθοντες ἢ τῷ κτίσαντι καὶ πρὸς τὴν ἀρχαίαν πλάνην ἐπανάγοντες, τὴν εἰδωλολατρείαν. Πόσον γὰρ ἂν διενέγκοι κτίσματος κτίσμα κἂν τῆς πρώτης ἀπολαύῃ τιμῆς

τε καὶ προεδρίας· ὁμοίως γάρ ἐστι κτίσμα καὶ τῆς αὐτῆς φύσεώς τε καὶ συγγενείας. Ἕτεροι δὲ τοῖς περὶ τοῦ υἱοῦ δῆθεν ὑγιαίνοντες λόγοις τοῦ πνεύματος ὑπεβίβαζον τὴν ἀξίαν, οὐ τῆς αὐτῆς πατρὶ καὶ υἱῷ συγχωροῦντες φύσεως εἶναι, ἀλλὰ τῇ κτίσει συντάττοντες, ἀπὸ κοιλίας ὄντως αὐτῶν φθεγγόμενοι καὶ ἀνοήτοις καταχραίνοντες τὴν θεολογίαν κενολογίαις. Ἀλλ᾽ οὐ μέχρι τούτων ὁ κατὰ Θεοῦ πόλεμός ἐστιν τοῖς ἀσεβέσιν ἢ τῷ τούτων μᾶλλον πατρί, ὃς δι᾽ ὑπερηφανίαν καὶ τὸ ἐπαρθῆναι κατὰ Θεοῦ τὸ σκότος ἠλλάξατο τοῦ φῶς εἶναί τε καὶ ὀνομάζεσθαι, οὐδ᾽ ἠγάπησεν ἐν τοῖς προτέροις ἐληλεγμένος καὶ ᾐσχυμένος, ἀλλὰ τῇ τοῦ Σωτῆρος ὑπὲρ ἡμῶν οἰκονομίᾳ τὰς γλώττας ἐπαφῆκε τῶν αὐτῷ πειθομένων καὶ μωρίας πάλιν ἐπεισήγαγε τῶν πιστῶν τῇ ἐκκλησίᾳ τὰς ταραχάς. Καὶ γὰρ οἱ μὲν αὐτῶν μηδὲ σεσαρκῶσθαι τὸν υἱὸν ἔλεγον τοῦ Θεοῦ, ἀλλὰ φάσμα τὸ φαινόμενον εἶναι καὶ οὐκ ἄνθρωπον ἀληθῶς καὶ δοκεῖν μὲν σταυροῦσθαι καὶ τραυματίζεσθαι καὶ τῶν πληγῶν ἀπορρέειν αἷμα, πάντα δ᾽ εἶναι φαντασίαν καὶ ἀπάτην τῶν ὀφθαλμῶν καὶ μηδὲν διενηνοχέναι τῶν ἐν σκηναῖς καὶ δράμασι τελουμένων, οἱ δ᾽ ἀπεναντίας τούτοις τὴν θείαν φύσιν εἰς σάρκα μεταβεβλῆσθαι καὶ τῶν ἀνθρωπίνων παθῶν μετέχειν καὶ σταυροῦσθαι καὶ θνήσκειν καὶ θάπτεσθαι μάταια λέγοντες ἀληθῶς καὶ ἀσεβεῖν ἐγνωκότες διακενῆς. Ἕτεροι δ᾽ αὖ πάλιν σάρκα μὲν ἐκ παρθενικῶν αἱμάτων ἀνειληφέναι ἄνουν διισχυρίζοντο καὶ ἄψυχον ἀνοήτως τῆς θεότητος δηλαδὴ ψυχῆς ἐπεχούσης λόγον ἐν τῷ Χριστῷ, ὥσπερ δεδοικότες μὴ καὶ ψυχὰς ἁγιασθῶμεν τῇ μεταλήψει, μᾶλλον δ᾽ ἵνα παντάπασιν ἀθεράπευτοι διαμείνωμεν τοῦ πρώτου πεσόντος ὑπὸ τὴν ἁμαρτίαν ἀβοηθήτου καταλειφθέντος. Καὶ οἱ μὲν αὐτῶν οὐχ᾽ ἕνα καὶ τὸν αὐτὸν εἶναι Θεὸν καὶ ἄνθρωπον, ἀλλ᾽ ἕτερον μὲν τὸν ἀϊδίως γεγεννημένον ἐκ τοῦ πατρός, ὁμοούσιον αὐτῷ καὶ ὁμόχρονον, ἕτερον δὲ τὸν χρονικὴν ἐκ τῆς παρθένου δεδεγμένον ἀρχήν, καὶ τοῖς κατὰ φύσιν πάθεσιν ὑποκείμενον τῆς σαρκός, μόνῃ τῇ ὁμοβουλίᾳ καὶ τῇ πρὸς πάντα ὑποταγῇ τῷ τοῦ Θεοῦ ἡνωμένον λόγῳ, δι᾽ ἣν αἰτίαν αὐτῷ καὶ συμπροσκυνεῖσθαι καὶ συνδοξάζεσθαι καὶ θεοφόρον ἄνθρωπον χρηματίζειν ἀλλὰ μὴ σαρκοφόρον Θεὸν καὶ τοιαῦτα δὴ πολλῆς παραπληξίας γέμοντα ἢ μᾶλλον ἀσεβείας καὶ ἀθεΐας. Οἱ δὲ τὸ ἴσον κακὸν ἐκ της ἐναντιότητος ὑπενόησαν σύγχυσιν τῶν φύσεων δογματίσαντες διὰ τὴν ἄκραν τῶν ὑποστάσεων ἕνωσιν ὡς ἐκ τούτου συμβαίνειν μήτε τῷ πατρὶ τὸν υἱὸν μήθ᾽ ἡμῖν ὁμοούσιον εἶναι, ἀλλά τινα φύσιν ἑτέραν καὶ Θεοῦ καὶ ἀνθρώπων ἐπίσης ἀφεστηκυῖαν καὶ τοιαῦθ᾽ ἕτερα προσεξεῦρον φιλοτιμούμενοι τὴν ἀσέβειαν· οὐ γὰρ νῦν πρὸς ἀκρίβειαν ἕκαστα καταλέγειν τὸ προκείμενον ἡμῖν, ἀλλ᾽ ὅσον ὑπομνῆσαι μόνον ὅτι τῆς ἀρχαίας τέχνης καὶ τῆς καθ᾽ ἡμῶν μαγείας οὐδ᾽ ἄχρι νῦν ὁ δημιουργὸς ἀπέσχετο τῆς κακίας, ἀλλ᾽ ὥσπερ ἐξ ἀρχῆς οὕτω δὴ καὶ νῦν ὀργάνων πονηρῶν εὐπορήσας καὶ τῆς αὐτοῦ μοχθηρίας χωρητικῶν οὐ παύεται πολέμους ἐπεγείρων, τοῖς εὐσεβοῦσι καὶ τοῦ Χριστοῦ ταράττων καὶ συγχέων τὴν ἐκκλησίαν, ἣν αὐτὸς ἰδίῳ αἵματι συνεστήσατο καὶ ἀνάλωτον

ἔσεσθαι καὶ πυλῶν ὑπερτέραν Ἅδου, οἶμαι δὲ τῶν πονηρῶν τοῦ σκότους προμάχων, δι' ὧν ὥσπερ τινῶν εἰσόδων κατὰ τῆς εὐσεβείας πόλεμος ἀναρρήγνυται τὰ ζόφου καὶ σκοτίας ἄξια προαγόντων εἰς φῶς καὶ ῥήματα καὶ νοήματα προηγόρευσεν. Ἐπεὶ γὰρ πᾶσαν διεξελθὼν μηχανὴν καὶ πάντα κάλων κινήσας οὐδὲν ἀπώνατο τῆς κακίας οὐδὲ τὴν ἄσπιλον τοῦ Χριστοῦ νύμφην ἴσχυσε καταισχύναι, ἀλλ' ὦπται λύκος μάτην τὸ τοῦ λόγου χανών, τῶν γενναίων τῆς ἀληθείας ὑπασπιστῶν καὶ προμάχων τῆς εὐσεβείας στερρῶς ἀντιτεταγμένων καὶ πᾶσαν αὐτοῦ διπλόην καὶ πανουργίαν δίκην ἀραχνίων διαλυόντων καὶ τὸ μὲν εὐσεβὲς καὶ ὀρθόδοξον ἀληθείας ὑποστηριζόντων λόγοις καὶ τῷ θεμελίῳ τῆς πίστεως ἑδραζόντων, ὃ καταβέβληται προφήταις καὶ ἀποστόλοις, τὸ δ' ἀσεβὲς καὶ κακόδοξον οἷα λίθοις τοῖς λόγοις ἀποσοβούντων τῇ σφενδόνῃ τοῦ πνεύματος καὶ σθένει παντὶ καθαιρούντων πᾶν ὕψωμα κατὰ τῆς γνώσεως ἐπαιρόμενον τοῦ Θεοῦ, ἐπεὶ ταύτην αὐτοῖς τὴν δύναμιν οὐκ ἄλλοθέν ποθεν ἑώρα προσγινομένην ἢ τοῦ θεὸν αὐτοῖς ἐνοικεῖν καὶ θείας πληροῦν χάριτος καὶ δυνάμεως, ταύτης αὐτοὺς ἀποστερῆσαι βουληθεὶς τῆς ἐπικουρίας, κακούργως μὲν οὐκ ἀνοήτως δ' οὖν ὅμως· ἣν γὰρ ἡ κρατίστη τῶν ἐπιβουλῶν, εἰ προὐχώρησεν αὐτῷ ῥᾷστα κρατήσειν ἀόπλων καὶ ἀφυλάκτων λογιζομένῳ ταύτῃ καὶ ἐπεστράτευσε πονηροῖς τισι καὶ τῆς αὐτοῦ μυσταγωγίας ἀξίοις χρησάμενος πρὸς συμμαχίαν καὶ δι' αὐτῶν τὴν ἐκκλησίαν συνταράξας Χριστοῦ καὶ κλύδωνι μεγάλῳ καὶ σάλῳ περιβαλὼν οὐρίως εἴπέρ ποτε φερομένην καὶ ταῖς τοῦ ἀγαθοῦ πνεύματος αὔραις ὁδηγουμένην καὶ πολλῆς γαλήνης οὐκ ὀλίγον ἤδη χρόνον ἀπολαύουσαν.

Ἀλλὰ πῶς ἂν ἑτέρως τὴν τοῦ Θεοῦ χάριν ἴσχυσεν ἡμῶν ἀφελεῖν καὶ τῆς ἐκεῖθεν βοηθείας ἀποστερῆσαι ἢ πείσας μὴ θεῖόν τι χρῆμα νομίζειν, μηδ' ἀϊδίως Θεῷ προσεῖναι κατὰ τὴν ἀναλογίαν τῆς καθάρσεως ἑκάστῳ χορηγουμένην καὶ θείας κοινωνοὺς φύσεως τῇ μετουσίᾳ ταύτης ἐργαζομένην, ἀλλὰ κτίσμα καὶ τῶν κτισμάτων οὐχ ὅσα μὲν εἰ πρὸς χρόνον καὶ διαμονήν τινα καὶ πῆξιν ἔχει τοῦ εἶναι, ἀλλ' ὅσα γίνεσθαι καὶ διαλύεσθαι πέφυκε καὶ τῆς αὐτῆς ἡμέρας πολλάκις ἵν' ᾖ μὴ μόνον ἀσεβές, ἀλλὰ καὶ λίαν ὑβριστικὸν τὸ ἐγχείρημα ἐκ τῆς ἀνωτάτω δόξης ἐπὶ τὴν ἐσχάτην τῶν κτισμάτων εὐτέλειαν καταγόντων. Ταύτην τὴν θολερὰν τῶν δογμάτων ἀνατροπὴν ἐκ μικρᾶς τινος καὶ τῆς τυχούσης ἀρξαμένην αἰτίας καὶ πρὶν καθαρῶς εἰς φῶς προελθεῖν ἀλλ' ἐν ὠδῖσι μένουσαν ἔτι κινδυνεύσασαν ὀλίγου δεῖν αὐταῖς ὠδῖσι διαφθαρῆναι τοῦ πρώτου τὸν πονηρὸν θησαυρὸν τῆς καρδίας ἐξενεγκόντος δίκην ἀκολάστου γλώττης ὥσπερ ἦν ἄξιον δεδωκότος καὶ τῶν ἱερῶν ἐξοστρακισθέντος περιβόλων τῆς ἐκκλησίας ἐπίσης τοῖς πώποτε κατὰ τῆς εὐσεβείας λελυττηκόσιν ἐπ' ἴσῃ τῆς ὀρθῆς πίστεως προδοσίᾳ πολέμου τῶν πώποτε μνημονευομένων χαλεπωτάτου τὰ ἡμέτερα καταλειφότος καὶ πάντα στάσεως καὶ ταραχῆς καὶ ἀταξίας ἐμπεπληκότος εἰδόσι λέγω, τὸν οὐ πρὸ πολλοῦ πρὸς ἀλλήλους κεκινημένον ἡμῖν καὶ τοῖς πολιτικοῖς πράγμασι νοσοῦσι καὶ διακειμένοις κακῶς, συμ-

μετεσχηκυίας τῆς λύμης τῆς ἐκκλησίας τῶν τότε ποιμένων ἀφρόνως τὸν ἀμπελῶνα Κυρίου λυμαινομένων καὶ λύκων ὀφθέντων ἀντὶ ποιμένων καὶ τὴν ἐπιθυμητὴν τοῦ Θεοῦ μερίδα καταισχυνόντων ἐπὶ τοσοῦτον αὐξηθῆναι συνέβη καὶ οὕτω κρατῆσαι ὡς πολλοὺς μὲν ἐσχηκέναι τοὺς σπουδαστάς, οὐ μικροῦ δὲ τῆς οἰκουμένης μέρους ἐπιλαβέσθαι, πολλῶν δὲ κινδύνων καὶ πειρασμῶν τοῖς ταύτην καταλύειν ἐσπουδακόσι πρόξενος καταστῆναι· παραδίδονται γὰρ καὶ δίκαιοι πολλάκις τοῖς ἀρρήτοις τοῦ Θεοῦ κρίμασιν, οἷς τόδε τὸ πᾶν διευθύνεταί τε καὶ διεξάγεται, χερσὶν ἀσεβῶν, οὐχ' ἵν' ἐκεῖνοι τὸ πλέον σχοῖεν, πῶς γὰρ οἷς γε καὶ τοῦτο πρὸς μείζω κατάκρισιν συγχωρεῖται κατὰ τὸ γεγραμμένον εἰς ἡμέραν πονηρὰν τηρουμένοις, ἀλλ' ἵνα οὗτοι μᾶλλον ἐκ τῆς πείρας λαμπρότεροι καταστάντες μεγάλων ἐπιτύχωσι τῶν ἐπάθλων, ἡνίκα πᾶν ἔργον ἡμῶν καὶ λόγος καὶ διανόημα τοῦ πάντα σαφῶς εἰδότος γυμνὰ τῷ βήματι παραστάντα καὶ χωρίς τινος ἐπικαλύμματος καὶ προβλήματος δικαίας τύχωσι τῆς εὐθύνης ἑκάστου κατ' ἀξίαν τῶν πεπραγμένων ἀπολαμβάνοντος. Καὶ τῆς τοιαύτης δυναστείας καὶ κατὰ τῶν δικαίων τῶν ἀσεβῶν μάστιγος τῷ τοῦ Θεοῦ κλήρῳ πρὸς καιρὸν ἐπαφιεμένης πρὸς μείζω εὐδοκίμησιν οὐκ Ἰὼβ μάρτυς μόνον, ὃς δίκαιος εἶναι θεοσεβής τε καὶ ἄμεμπτος ὑπὸ τῆς ἀληθείας μαρτυρηθεὶς καὶ τὸ σύμπαν εἰπεῖν πάσης κακίας ἀπηλλαγμένος πολλοῖς καὶ συνεχέσι περιεσχέθη κύμασι πειρασμῶν, οὐ χρημάτων καὶ κτημάτων καὶ τῆς ἄλλης περιουσίας, ἀλλὰ καὶ φιλτάτων αὐτῶν ἀποστερηθεὶς ἀθρόον ἐν βραχεῖ χρόνῳ καὶ πολλὴν ἐν τῷ σώματι κάκωσιν ὑποστὰς σφοδρότατά τε πιεσθεὶς ἐνδείᾳ τῶν ἀναγκαίων, ὁ πολλοῖς ἐπαρκέσας πρότερον ἐνδεέσι καὶ πᾶσι τοῖς χρῄζουσιν ἐν παντὶ χρόνῳ τὴν οἰκίαν παρεσχημένος ἀνεῳγμένην καὶ ὁ πολλῶν πενήτων ὤμους θάλψας γυμνὸς ἐπὶ κοπρίας ἔξω τῆς πόλεως καθεσθείς, εἰ καὶ λαμπρῶς ἐπὶ τέλει τῶν ἄθλων ἀνεκηρύχθη διὰ νεφέλης καὶ λαίλαπος αὐτῷ χρηματίσαντος τοῦ Θεοῦ καὶ πᾶσι γνώριμον καταστήσαντος ὡς οὐ διὰ κακίαν ὥσπερ ᾤοντο τῶν φίλων οἱ γνησιώτατοι κακῶν εἰς πρᾶξιν ἀλλ' οὐ βάσανον ἀρετῆς νομίζοντες τὴν παροῦσαν κακοπραγίαν, ἀλλ' ἵνα μᾶλλον ἀναφανῇ δίκαιος ταῦτα συνεχωρήθη, οὐδ' ἀναισχύντου τινὸς προφάσεως ὑπολειπομένης τῷ διαβόλῳ οὐ δωρεὰν ἀλλ' ἀντίδοσιν τῶν ὑπηργμένων ἀγαθῶν τὴν Ἰὼβ εὐσέβειαν ὀνομάζοντι. Οὐ τοίνυν Ἰὼβ μόνον τοῦ κακῶς τοὺς δικαίους πάσχειν ἔστιν ὅτε συγχωρεῖσθαι παρὰ Θεοῦ μάρτυς ἀξιόχρεως ἡμῖν, ἀλλὰ καὶ πᾶς τῶν ἁγίων δῆμος, οἳ περιῆλθον ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι κατὰ Παῦλον, πολλῷ δὲ μᾶλλον οἱ Χριστοῦ μαθηταί, οἷς ἅπας ὁ βίος ἦν μία θλῖψις, εἰ καὶ χαίροντες τοῖς ἀλγεινοῖς προσωμίλουν, τῆς ἀγαθῆς ἐλπίδος ὑποτεμνομένης τὴν αἴσθησιν τῶν δεινῶν· ἐῶ γὰρ λέγειν τοὺς μαρτύρων ἄθλους καὶ τὰ παλαίσματα, οἳ ῥᾷον ἤνεγκαν ἐν τοῖς ἰδίοις σώμασιν ἀγωνιζόμενοι τὰ δεινὰ ἢ ἄν τις ἕτερος πάσχοντας ὁρῶν μόνον. Τῶν δὴ τοιούτων ὑπὲρ τῆς εὐσεβείας ἀγώνων τε καὶ σκαμμάτων οὐδ' ὁ μακάριος Ἄνθιμος ἀπελείπετο, ἀλλὰ καίτοι νέαν ἄγων τὴν ἡλικίαν καὶ τετα-

γμένος ὑπὸ καθηγητῇ τῆς θεοσεβείας καὶ τῆς πρὸς οὐρανοὺς φερούσης τρίβου καὶ τῆς ἐμπράκτου φιλοσοφίας, ἐπεὶ κἀκεῖνος τῆς αὐτῆς ἦν, ὅ φασι, κεραμείας, καὶ λόγους ᾔδει κιβδήλους τῶν ἀληθινῶν διακρίνειν τῆς θεολογίας δογμάτων καὶ τὸ μὲν νόθον ἅπαν ἀπαναίνεσθαι, τῆς δὲ ἀληθείας περιέχεσθαι παντὶ σθένει καὶ διὰ ταῦτα πολλοῖς παρὰ τῶν τῆς ἀσεβείας προεστηκότων περιπεπτώκει τοῖς πειρασμοῖς ἐλαυνόμενος καὶ περιϋβριζόμενος καὶ θεάτροις καὶ ἀγοραῖς ἀτίμως περιελκόμενος καὶ δεσμωτηρίοις κακούργων δίκην προσομιλῶν· τῶν γὰρ λαοῦ προστασίαν πεπιστευμένων εἷς ἦν καὶ πάντα ὑπομένειν ἕτοιμος ὑπὲρ τοῦ τὴν καλὴν τοῦ Χριστοῦ νύμφην, λέγω τὴν ἐκκλησίαν, μὴ περιιδεῖν νόθοις καὶ παρεγγράπτοις δόγμασι μολυνομένην, ὑπὲρ ὧν καὶ μάλιστα καθ᾽ ἑαυτοῦ τῶν διωκτῶν ἐξεκαλέσατο τὴν μανίαν, ἐπειδὴ πρὸς τὸ λυποῦν εἴωθε μάλιστα τὸ πολεμοῦν ἀντιπαρεξάγεσθαι. Πῶς δ᾽ ἂν ἀνθρώποις ἐχρήσαντο φιλανθρώπως οἱ κακοὶ τοῦ λόγου σπαράκται καὶ τὴν ἀλήθειαν ῥᾳδίως παραχαράττοντες; Ἐπειδὴ τοίνυν ὁ καθηγητὴς αὐτῷ τοιούτοις ἐνετρύφα τοῖς ὑπὲρ εὐσεβείας διωγμοῖς καὶ κινδύνοις, οὐδ᾽ ἐκεῖνος ἀπελείπετο παραθέων, ἀλλὰ πᾶσι παρῆν κινδύνοις τὴν ἴσην ἐπιδεικνύμενος προθυμίαν οὐ τῷ σφοδρῶς ἀντιπνέειν μόνον τῇ ἀσεβείᾳ καὶ πάντα πράττειν πρὸς κατάλυσιν αὐτῆς, ἀλλὰ καὶ τῷ πᾶν ὁτιοῦν αἱρεῖσθαι τῶν δυσχερῶν ὑπὲρ τοῦ μὴ τοῖς διώκουσιν ὦτα δοῦναι καὶ ταῖς βεβήλοις αὐτῶν συνθέσθαι κενοφωνίαις. Καὶ Τιμόθεος ἦν ἄντικρυς ἄλλος, Παύλῳ πρὸς τὸ κήρυγμα συγκακοπαθῶν τοῦ Εὐαγγελίου καὶ πᾶσαν ὅση δυνατὴ παρ᾽ ἑαυτοῦ συνεισφέρων ἐν τοῖς προκειμένοις συνεισφοράν, ὃ καὶ μεῖζον ἐδόκει παντὸς κέρδους τῷ διδασκάλῳ καὶ παντὸς ἦν ἥδιον αὐτῷ θεάματος, ὃν αὐτὸς ἐθρέψατο λόγοις εὐσεβείας ὁρᾶν εἰς τοὔθ᾽ ἡλικίας ἥκοντα καὶ φρονήσεως μᾶλλον δὲ ῥώμης καὶ ἀνδρείας πνευματικῆς, ὡς ἐν μηδενὶ τῶν καλῶν αὐτοῦ δι᾽ ἀσθένειαν ἀπολείπεσθαι, ὃ πατράσιν ἔργον εὐχῆς τοὺς παῖδας αὐτοῖς βελτίους τῶν γεγεννηκότων ὀφθῆναι καὶ τούτοις οὐ δάκνονται παρευδοκιμούμενοι μόνον, ἀλλὰ καὶ χαίρουσιν. Οὐ μὴν ἐν τοῖς ἀγῶσι μὲν καὶ τοῖς κινδύνοις οὕτω πρόθυμος ἦν ὑπὲρ τοῦ μὴ τὴν ἀλήθειαν ὁρᾶν πατουμένην ὁτιοῦν πᾶν αἱρεῖσθαι, τῶν διωγμῶν δὲ πεπαυμένων καὶ τῶν κινδύνων ὑφῆκε τῆς τόλμης, ἢ μικρὸν γοῦν πρὸς τὸν κατὰ τῆς αἱρέσεως ἀπερραθύμησε πόλεμον ὥσπερ ἀγαπητὸν ἡγούμενος εἰ μὴ τὸ πλέον ἔχοιεν οἱ κακοί, ἀλλ᾽ ἀντίπαλα ᾖ τὰ τῆς εὐσεβείας πρὸς τὴν κακίαν. Ἀλλ᾽ εἰ μὴ παντάπασι τῶν θείων ἐξελάσειε περιβόλων, οὐδὲ βιώσιμον ἐδόκει μεθ᾽ ἡδονῆς· ὡς γὰρ ἔδει ποτὲ τῆς εὐσεβείας ἀναλαμψάσης καὶ τῆς προσηκούσης παρρησίας καὶ τιμῆς ἐπιλαβομένης, τοῦ σκότους δὲ τῶν αἱρέσεων ἐκχωρήσαντος πολλαῖς ἐληλεγμένου τῶν προεστηκότων τῆς ἐκκλησίας συνόδοις καὶ ἀποδείξεσι καὶ φανερῶς ἀποκηρυχθέντος ἐγγράφοις τοῖς διατάγμασιν, ἵν᾽ ᾖ πᾶσι καταφανὴς ἡ κακία καὶ μὴ τὴν ἀλήθειαν ὑποκρινομένη δελεάζῃ τοὺς ἁπλουστέρους, οὐδ᾽ ἐκεῖνος τό γε εἰς αὐτὸν ἧκον ἠμέλει, ἀλλὰ δυνάμει τε πνεύματος καὶ θείων ἐμπειρίᾳ λόγων

καθωπλισμένος ἐχώρει κατὰ τῆς πλάνης τοὺς μὲν μήπω τοῖς ἐκείνων βρόχοις ἐμπεπτωκότας λόγοις ἀληθείας ὑποστηρίζων καὶ ὁμονοίᾳ τῶν λογίων τοῦ πνεύματος καὶ τῆς αἱρέσεως τὸ αἶσχος ὅσον τῇ παραθέσει τῶν ὀρθῶν δογμάτων ὑποδεικνύς, τῶν προεμπεσόντων δὲ τὸ μὲν ὅσον ἰάσιμον ἐπανάγων καὶ χειραγωγὸς αὐτοῖς γινόμενος ὁμοίως πρός τε τὴν αἵρεσιν τῆς ἀληθείας καὶ τὴν τῆς πλάνης ἀποφυγήν, τοὺς δ᾽ ἀνιάτως ἔχοντας στερραῖς ἀποδείξεων ἀνάγκαις ἐπιστομίζων καὶ κακοὺς ἐθελοντὰς ὄντας ἀποδεικνὺς ἀγνοίᾳ τῶν Γραφῶν ἀποπλανηθέντας καὶ μοχθηρίᾳ φύσεως τῷ ψεύδει ἐναπομείναντας. Ἆρ᾽ οὖν εἵλετο μὲν τὸ ἀγαθὸν αὐτός, ὁμοίως ἔν τε λόγοις καὶ πράγμασι, καὶ πᾶν ἀρετῆς ἐξήσκησεν εἶδος, ὥσπερ τινὰ στήλην ἐκείνης ἔμψυχον εἰς κάλλος ἑαυτὸν ἀποξέσας, ἑτέροις δὲ τῶν ὁμοίων αἴτιος οὐ κατέστη; ἢ πολλοὺς μὲν ἑτέρους ἐνῆγε πρὸς ἀρετὴν λόγοις τε καὶ τῷ καθ᾽ ἑαυτὸν ὑποδείγματι, οὐκ ἐπίσημος δὲ ἦν, μηδὲ ταῖς πάντων γλώτταις περιᾳδόμενος μετὰ θαύματος; ἢ τοῖς πᾶσι μὲν περίβλεπτος ἦν καὶ θαυμαζόμενος ὥσπερ ἄξιον, οὐ τετίμηται δὲ τὰ εἰκότα, μηδ᾽ ἐπὶ τὴν λυχνίαν ὁ λύχνος ἐτέθη, ἵν᾽ ᾖ πᾶσιν ὁδηγία πρὸς εὐθύτητα καὶ λόγου καὶ βίου, τοῖς δυναμένοις τῷ φωτὶ τῆς ἀληθείας ἐνατενίζειν; Οὐδαμῶς, ἀλλ᾽ ὥσπερ πᾶν εἶδος ἀρετῆς ἐπῆλθε πρότερον ἐν κόσμῳ καὶ κατὰ τάξιν, ἀπὸ τῶν ἀτελεστέρων ἐπὶ τὰ τελειότερα μεταβαίνων, οὕτω δὴ καὶ πάντα βαθμὸν ἱερωσύνης πρότερον μετελθὼν καὶ πᾶσι καλῶς καὶ ὡς προσῆκεν ἐνδιαπρέψας τελευταῖον ὑπὸ τῶν καλῶς εἰδότων τὰ τοῦ παντὸς ἄξια περιέπειν καὶ πολλῆς ἐπιμελείας ἀξιοῦν τὰ πάσης τιμῆς ἐπέκεινα, ἐφ᾽ ὑψηλὴν ἀνάγεται τῶν ἀξιωμάτων περιωπήν, τῆς Ἀθηναίων πόλεως τὴν προστασίαν ἐγχειρισθείς, τιμήσας τὴν καθέδραν μᾶλλον οὐχ᾽ ὑπ᾽ αὐτῆς τιμηθεὶς καὶ ἀρετῆς ἆθλον, ἀλλ᾽ οὐ προστασίας ἀνθρωπίνης ἢ σπουδῆς ἔργον τὴν ἀξίαν εὑράμενος καὶ βιασθεὶς κατὰ Θεὸν μᾶλλον, ἀλλ᾽ οὐκ εἰσωθήσας ἑαυτὸν τῇ πασῶν λειτουργιῶν ὑψηλοτάτῃ καὶ σεμνοτάτῃ καὶ οὐκ ἀνάγνοις, ὅ φασι, χερσὶν οὐδ᾽ ἀπαιδεύτῳ τῇ διανοίᾳ ἀλλὰ καὶ λίαν ἡγνισμέναις καὶ ψυχῇ τὰ θεῖα πεπαιδευμένῃ καὶ καλῶς εἰδυίᾳ νόμους Θεοῦ τῶν ἁγιωτάτων προσεφαψάμενος. Τοιγαροῦν οὐδ᾽ ἐφησύχασε τοῖς προλαβοῦσι πόνοις τε καὶ καμάτοις, οὐδ ἀρκεῖν ἡγεῖτο τὴν ἐκ τοῦ θρόνου δόξαν προσγινομένην ὥσπερ ἂν ἄλλος τις τῶν χαμαὶ συρομένων καὶ ταπεινοφρονεῖν περὶ μεγάλων διεγνωκότων, ἀλλὰ τὴν μὲν ἔξωθεν τιμὴν προσγινομένην, οὐ τῶν ἐχόντων μᾶλλον ἢ τῶν δεδωκότων εἶναι νομίζων, τὴν δὲ ἐκ τῆς ἀρετῆς καὶ τῶν οἰκείων κατορθωμάτων ἰδίαν εἶναι καὶ καθαρῶς τῶν κατωρθωκότων, μᾶλλον ἐπέτεινεν ἑαυτὸν πρὸς ἐργασίαν τῶν ἀγαθῶν ὥσπερ αὐτὸς πρὸς ἑαυτὸν τὴν ἅμιλλαν ἐνστησάμενος καὶ τοῖς ἐπιγενομένοις τοὺς προλαβόντας πόνους ὑπερβαλέσθαι φιλονεικῶν. Ποῖον γὰρ ἀρετῆς οὐκ ἐπῆλθεν εἶδος, μᾶλλον δὲ ποῖον οὐ μεθ᾽ ὑπερβολῆς ἢ τί τις τῶν αὐτοῦ θαυμάσαι προθυμηθεὶς οὐκ ἂν αὐτὸς αὑτοῦ καταγνοίη ὡς μείζοσιν ἢ κατὰ λόγου δύναμιν τὸν λόγον ἀντεπεξάγων ὥσθ᾽ ἑκατέρωθεν τὴν νικῶσαν ἐκεῖνον ἔχειν, εἴθ᾽ οἷς ἂν ἀποκνοίη τις ὡς μείζοσιν

ἢ καθ᾽ αὑτὸν προσάπτεσθαι τῶν ἐγκωμίων ἐκείνου, εἴθ᾽ οἷς ἐγχειροίη παρὰ πολὺ φαινόμενος ἀπολειπόμενος τῆς ἀξίας. Ἀλλὰ τὸν οὕτω μὲν θαυμαστόν, οὕτω δὲ τοῖς ἁπάντων περιᾳδόμενον στόμασι, μὴ καὶ μείζω προϊέναι πρὸς δόξαν ὥσπερ δὴ καὶ παρὰ Θεῷ οὐδὲν ἧττον καὶ παρ᾽ ἀνθρώποις, πῶς ἂν ἦν λόγον σῷζον ἢ μὴ καὶ παντάπασι τοῦ εὐπρεποῦς ἔξω πῖπτον καὶ τοῦ δικαίου; Οὔκουν οὐδὲ ἠνείχοντο οἱ καλοὶ τῶν ἐκείνου κριταὶ καὶ δοκιμασταὶ μὴ καὶ μείζοσι πράγμασι καὶ τῆς ἐκείνου δεομένοις ἐπιστασίας ἐφιστᾶν τὴν μεγάλην ψυχὴν ἐκείνην καὶ μεγάλην δύναμιν κεκτημένην, ἀλλ᾽ ὥσπερ τῶν στρατηγῶν τοὺς εὐδοκιμωτάτους οἱ τῶν μεγάλων ἐξηγούμενοι στρατοπέδων, ἂν φθάσωσι μὴ τοῖς πονοῦσι τῆς στρατιᾶς μέρεσιν ἐπιστήσαντες ἐν ταῖς μάχαις οὐ μάλα τοῖς δεδογμένοις ἐθέλουσιν ἐπιμένειν, ἀλλ᾽ ὀξέως συνιδόντες μετατάττουσι πρὸς τὸ δέον, πολλὴν ποιούμενοι πρόνοιαν τοῖς φοβερωτέροις τῶν πολεμίων τῶν παρ᾽ αὐτοῖς τοὺς εὐδοκιμωτάτους ἀντεπεξάγειν, τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ τηνικάδε τῶν ἱερῶν ἀρχῶν τὴν μεγίστην πεπιστευμένος πρὸς τοῖς ἄλλοις, οἷς ἐκεκόσμητο πλεονεκτήμασι, καὶ λόγῳ καὶ σοφίᾳ τῶν ἐπ᾽ ἐκεῖνο κρατῶν τοῦ χρόνου καὶ καλῶς εἰδὼς πράγμασι χρῆσθαι καὶ τῷ καλῷ καὶ δικαίῳ μόνον ὀρθῇ ψήφῳ καὶ διανοίας εὐθύτητι προστιθέμενος, τοῦ καιροῦ τότε καὶ τῶν πραγμάτων τὸν ἄριστον ἐν πράξεσι καὶ λόγοις ἐπιζητούντων, ἐπεὶ καλῶς εὕρισκεν ἐκεῖνον οὐκ ἐνδεῶς παρεσκευασμένον πρὸς τὴν χρείαν τοῦ ζητουμένου, τῆς Ἀθηναίων πόλεως ἀφελόμενος, ᾗ κεκλήρωτο, τῇ τῶν Κρητῶν ἐφίστησι νήσῳ, τῆς ἐκείνου δεομένῃ καὶ γλώττης καὶ διανοίας πρὸς τὴν ἐκ μακροῦ τοῦ χρόνου κατασχόντων αὐτὴν ἀπαλλαγὴν δυσχερῶν. Τῆς γὰρ νήσου ταύτης ἐκ πολλοῦ Λατίνοις δεδουλωμένης καὶ τῆς πρὸς ἡμᾶς ἕνεκα τῶν δογμάτων διαφορᾶς καὶ τῆς ὡς εἰκὸς ἀπεχθείας ἐκ τούτου προσγινομένης ποιμένα καὶ τῆς εὐσεβείας διδάσκαλον παρ᾽ ἡμῶν αὐτοῖς ἐφίστασθαι κωλυόντων καὶ μὴ τῇ βίᾳ μόνον ἐπὶ τῆς ἐλευθερίας κεχρημένων τῇ ἀναιρέσει, ἀλλὰ ὑπὸ πολλῆς ὠμότητός τε καὶ ἀγροικίας καὶ τὴν εὐσέβειαν τυραννούντων καὶ μικρὸν ἡγουμένων τῶν σωμάτων τὴν δυναστείαν, εἰμὴ καὶ τῶν ψυχῶν τῶν ἀρχομένων κρατοῖεν, ἐπεὶ πρὸς τὴν ἐλευθερίαν οἱ Κρῆτες παρορμήσαντες σφᾶς αὐτοὺς τοῖς τυραννοῦσιν ἐπέθεντο καὶ κρατήσαντες ἐξήλασαν τῆς νήσου ἑαυτῶν ἤδη γενόμενοι καὶ δεσποτῶν ἀγνωμόνων ἀπαλλαγέντες, δεινὸν ἡγοῦντο σώφροσι λογισμοῖς κεχρημένοι εἰμὴ καὶ τῆς πρὸς τὴν ἁμαρτίαν δουλείας ἀπαλλαγεῖεν. Ἤδεσαν γὰρ βαρυτέραν παντὸς κινδύνου καὶ μόνην εἶναι προσήκουσαν ἀνθρώποις ἐλευθερίαν, μὴ πάθεσι δουλεύειν ἀνελευθέροις μηδὲ τὴν σάρκα κατεξανιστάντας τῷ πνεύματι δύναμιν αὐτῇ παρέχειν τοῦ κρείττονος περιγίγνεσθαι, ἀλλ᾽ ὥσπερ ἐξ ἀρχῆς ἔκτισται μᾶλλον τὴν ψυχὴν ἡγεῖσθαι τοῦ σώματος καὶ τὸν λόγον τῆς ἀλογίας κατακρατεῖν, τοῦτο δ᾽ οὐκ ἂν ἄλλως αὐτοῖς γενέσθαι, εἰ μὴ διδασκάλων εὐποροῖεν τῆς εὐσεβείας τῇ πρὸς τὸ κρεῖττον ὁδηγίᾳ δυναμένων αὐτοὺς πρὸς τὴν ὁδὸν ἐπανάγειν τῆς σωτηρίας. Ταύτην δὴ τὴν καλὴν ἐπιθυμίαν σπουδὴν ἔχοντες εἰς πέρας ἰδεῖν ἐλθοῦσαν πρεσβεύονται

πρὸς τὸν μέγαν τῆς βασιλευούσης πόλεως, ταὐτὸν δ᾽ εἰπεῖν καὶ τῆς οἰκουμένης ἁπάσης, ἀρχιερέα δεόμενοι μὴ σφᾶς παριδεῖν, ὥσπερ ποίμνιον ἀνεπίσκοπον, εἰς διαρπαγὴν πᾶσι θηρίοις ἕτοιμον, ὥσπερ ὑπὸ θυέλλης τινὸς καὶ ζόφου μεγάλου τῶν κατεσχηκότων διεσκεδασμένον βαρβάρων, καὶ τὰ μὲν παθὸν ἤδη, τὰ δὲ καὶ μέλλον, εἰ μὴ τῆς δεούσης προνοίας ἀξιωθεῖεν. Τοιαῦτα μὲν ἡ Κρητῶν ἐδεῖτο πρεσβεία πολλὰς προστιθέντες ἱκετηρίας. Ὁ δέ, καὶ γὰρ οὐδὲ ἐνῆν παριδεῖν αὐτοὺς τοιαῦτα σὺν λόγῳ καὶ μετὰ συνέσεως δεομένους, συντείνας ἑαυτὸν καὶ πλεῖστα δὴ περὶ τοῦ προκειμένου διασκεψάμενος, τὸν μακάριον Ἄνθιμον τοῖς πρέσβεσι συνεκπέμπει μόνον ἀξιόχρεων εἶναι νομίσας χρονίοις πάθεσι καὶ παραπτώμασιν ἀντιστῆναι καὶ τὴν ἐπιπολάσασαν ἀνελόντα κακίαν θείους ἐπεισαγαγεῖν νόμους καὶ τὴν προσήκουσαν ἁγίοις ἐπανασώσασθαι πολιτείαν.

Ἐντεῦθεν ὁ τοῦ μαρτυρίου στέφανος ἀρχὴν ἐκείνῳ λαμβάνει. Τί γὰρ εἰ μὴ καὶ παρὰ τὴν ἀρχὴν εὐθὺς παρεδίδετο τοῖς δημίοις καὶ δεσμωτηρίοις ὡμίλει καὶ παρεστήκει τυράννοις τὸ καινὸν ἔγκλημα τὴν εὐσέβειαν ἐγκαλούμενος. Μάρτυς ἦν ἀπηρτισμένος τῇ προαιρέσει καὶ χωρὶς αἵματος στεφανίτης καὶ νικητὴς καὶ πρὸ τῶν ἀγώνων ἐκ πρώτης τὸν ἀόρατον τύραννον τρεψάμενος προσβολῆς. Οὐ γὰρ ὡς πολλοῖς μὲν ἐντευξόμενος πειρασμοῖς, βιωσόμενος δ᾽ οὖν ὅμως, ὃ δὴ καὶ τοῦτο ψυχῆς γενναίας καὶ ἀποστολικῆς, ἄν τις ὀρθῶς δικάζων τιθείη, εἰ τὸ ἑτέροις μόνον ἀλλὰ μὴ τὸ καὶ αὐτῷ συνοῖσον ἐσκόπει, οὐδὲ τοιαύτην γνώμην ἔχων ἔπλεεν ἐπὶ Κρήτην, ἀλλ᾽ εὖ εἰδὼς ὡς ἐπὶ θάνατον φανερῶς, οὐδὲν μικρόψυχον οὐδ᾽ ἀγενὲς οὔτ᾽ εἶπεν οὔτ᾽ ἐνενόησεν, ἀλλὰ τὸ μὲν καιροῦ καλοῦντος μὴ πρόθυμον εἶναι πρὸς τοὺς κινδύνους, ἀλλὰ πάσῃ διαδιδράσκοντα μηχανῇ ἐν ἀνέσει καὶ ῥᾳστώνῃ βιοῦν ἐθέλειν, παντὸς καὶ τοῦ τυχόντος λογιζόμενος εἶναι, τὸ δ᾽ ὑπὲρ τῆς ἑτέρων σωτηρίας διακινδυνεύειν ἢ μᾶλλον τῆς ἀγάπης αὐτοῦ Χριστοῦ, ὃς διὰ τὴν τῆς πρὸς ἡμᾶς ἀγάπης ὑπερβολήν, οὐχ᾽ ὁμοιοπαθὴς ἡμῖν γενέσθαι μόνον, ἀλλὰ καὶ σταυρὸν καὶ θάνατον ἄτιμον κατεδέξατο, τῶν τὸν σταυρὸν ἀραμένων καὶ μηκέτι ἑαυτοῖς ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι ζώντων Θεῷ, προθύμως ἐχώρει τὴν ἐπὶ θάνατον μονονουχὶ καὶ δυσχεραίνων ὅτι μὴ πάρεστιν ἤδη, μᾶλλον δὲ τὸ ἀναλῦσαι μὲν καὶ Χριστῷ συνεῖναι καὶ λίαν ἐπιποθῶν, τὸ δ᾽ ἔτι μένειν ἐν σαρκὶ διὰ τοὺς Κρῆτας ἀναγκαιότερον, ἵν᾽ ἐκεῖνοι πολλῆς ἀπολαύσωσιν ὠφελείας, τοῖς ποτίμοις τῆς ἐκείνου διδασκαλίας νάμασιν ἀρδευθέντες. Οὐ μὴν οὐδὲ τὸν πλοῦν αὐτὸν ἄνευ πολλῶν καὶ μεγάλων ἤνυσε τῶν κινδύνων, τοῦτο μὲν πρὸς βίας ἀνέμων καὶ θαλάττης ἀγριότητα και κλύδωνας καὶ χειμῶνας, τοῦτο δὲ πρὸς πειρατὰς διακινδυνεύων. Ἀλλὰ πάντα φόβον νικήσας τῷ πρὸς πάντα παρεσκευάσθαι καὶ θανάτου καταφρονεῖν, οὕτως ἐπέβη τῆς νήσου, μεθ᾽ ὅσης ἂν εἴποι τις τῆς προθυμίας ὑποδεχθεὶς καὶ τῆς πρότερον ἐπιθυμίας ἀξίως. Πανταχόθεν γὰρ συρρεύσαντες ὥσπερ ἐκ πολλῶν χειμάρρων ἐφ᾽ ἑνὸς ποταμοῦ σύστασιν, οὐχ ὅσον μόνον τοῦ βήματος καὶ ἱερωμένον, ἀλλὰ καὶ ὅσον μοναδικὸν καὶ φιλόσοφον, οὐ μὴν ἀλλὰ καὶ

πᾶν τὸ εὐγενές τε καὶ προὔχον ἀξίᾳ, ἤδη δὲ καὶ τοῦ πλήθους πολὺ καὶ ἀριθμὸν ὑπερβαῖνον οὐκ ἀνδρῶν μόνον ἀλλὰ καὶ γυναικῶν, οὕτω τὴν ὑπάντησιν ἐποιοῦντο, πλήθει μὲν τὴν ἐκεῖ καλύπτοντες γῆν καὶ οὐδὲ ὀφθαλμοῖς παρέχοντες τέλος ὁρίζον, βοαῖς δὲ καὶ ὑμνῳδίαις καὶ αὐτὸν πληροῦντες τὸν ἀέρα, πλήθει δὲ λαμπάδων καὶ μύρων ἐκχύσεσι καὶ οἷς ἄλλοις οἶδεν ἑορτὴ φαιδρύνεσθαι πᾶσι χρωμένων πολυτελῶς καὶ ἐλευθερίως ἑκάστου μικρὰν τὴν παρ᾽ αὐτοῦ συνεισφορὰν νομίζοντος τῷ μεγέθει τῆς προαιρέσεως καὶ ὀλίγα διδόντος τὸ μεῖζον ἀντιλαμβάνειν, αὐτὸ τοῦτο τὸ μετασχεῖν τοιαύτης εὐφροσύνης καὶ πανηγύρεως. Καὶ οἱ μὲν αὐτῶν ἐγγὺς ἐλθεῖν καὶ μετασχεῖν ἁγιασμοῦ τῶν χειρῶν ἐκείνου τῇ ἐπιθέσει τοῦ παντὸς ἐτιμῶντο, οἱ δὲ καὶ φωνῆς ἀκοῦσαι μόνον καὶ προσρήσεως ἀξιωθῆναι, οἱ δὲ μέγα ἦγον καὶ θέας μόνης ἐμφορηθῆναι ὡς ἐνὸν κἀντεῦθεν ἁγιασμοῦ τινος μετασχεῖν. Καὶ οὕτως ἀπὸ θαλάττης ἦγον ἐπὶ τὴν χώραν ῥεύματα μιμούμενοι ποταμῶν τοὐναντίον ἢ προσῆκεν ἀπὸ τῆς θαλάττης ἐπὶ τὴν ἤπειρον ἀνιόντα· τὰ γὰρ ἐν μέσῳ παραλείπω, ᾠδὰς καὶ κρότους καὶ φιλοφροσύνας ἐν ἑστιάσεσι καὶ ἰδίᾳ καὶ δημοσίᾳ καὶ ὅσοις φιλεῖ δῆμος ἑορτάζων φαιδρύνεσθαι ὑπὸ πολλῆς περιχαρείας ἐξαγόμενος καὶ τοῦ μέτρου, ἵνα μὴ καὶ ἀπειρόκαλός τις εἶναι δόξω, μικρὰ θαυμάζων καὶ οἷς οὐδ᾽ ἂν αὐτὸς ἴσως ἡδέως εἶχεν, ὑπὲρ οὗ ταῦτα ἐγίνετο. Ἆρ᾽ οὖν προεκρίθη μὲν ὡς ἄριστα βεβιωκὼς εἰς προστασίαν λαοῦ τοσούτου, παρ᾽ αὐτῶν δ᾽ ἐκείνων, ὧν ἐπιστεύθη τὴν προστασίαν, ἐνδεέστερον ἢ προσῆκε προσεδοκήθη; ἢ προσεδοθήκη μὲν ἀξίως, οὐ προσεδέχθη δὲ καταλλήλως τῇ προσδοκίᾳ; ἢ ὑπεδέχθη μέν, ἐπὶ τῶν ἔργων δ᾽ ἠλέγχθη μεῖζον ἢ προσῆκε προσδοκηθείς; Οὐδαμῶς, ἀλλὰ πάνθ᾽ ὥσπερ ἁρμονίαν τινὰ καὶ τάξιν ἀρίστην σῴζοντα ἀλλήλοις ἐπηκολούθησεν, ὁ βίος, ἡ πρόκρισις, τῶν ὑποδεξαμένων ἡ προθυμία, τὸ μετὰ τὴν ὑποδοχὴν εὐδόκιμον ἐν πᾶσι φανῆναι, ἐν ἔργοις, ἐν λόγοις, ἐν τοῖς ὑπὲρ εὐσεβείας ἀγῶσί τε καὶ κινδύνοις. Ἅμα γὰρ ἐπιβαίνει τῆς νήσου καὶ πάντα πᾶσιν ἐγίνετο, ἵνα κερδήσῃ πάντας ἢ πλείονας, διδάσκων, νομοθετῶν, εἰσηγούμενος, ἐπιπλήττων, ἐν κρίσει μὲν τοὺς λόγους οἰκονομῶν καὶ τοὺς μὲν πείθων τῶν προτέρων ἑαυτοὺς ἀποκαθαίρειν ἁμαρτημάτων, κακίας πάσης ἀποσχομένους καὶ πρὸς τὴν τρίβον τῆς αἰωνίου ζωῆς καὶ σωτηρίας ἐπανιόντας, ἐνίους δὲ καὶ αὐστηροτέροις θεραπεύων φαρμάκοις, ὅσοις ἑώρα τὰ ἕλκη πολλῆς δυσωδίας γέμοντα καὶ βαθείας δεόμενα τῆς τομῆς, ἔργῳ δὲ πάσης ἑαυτὸν ἀρετῆς ὑπόδειγμα προτιθεὶς καὶ ἀγαθοῦ παντὸς τύπον, ἵν᾽ εἴη καὶ σιγῶν ἀρκοῦσα πρὸς τοῦ ἀγαθοῦ τὴν αἵρεσιν, ἀλλὰ μὴ φθεγγόμενος, παράκλησις μόνον. Τίς γὰρ τὸ ἄσκευον ἐκείνου καὶ ἀπέριττον, ὀλίγα τῶν ἀΰλων λειπόμενον, καθορῶν οὐκ ἂν ἐπείσθη καταφρονεῖν τῶν χρημάτων καὶ μόνην ἀνθρώπῳ προσήκουσαν ἡγεῖσθαι κτῆσιν τὴν ἐν οὐρανοῖς ἀποκειμένην ἐλπίδα, ἄργυρον δὲ καὶ χρυσὸν καὶ τὴν ἀπὸ σηρῶν καὶ χρυσοῦ βιασθέντος ἐσθῆτα καὶ τἄλλα, οἷς νομίζουσιν οἱ νεύοντες κάτω καὶ γῇ καὶ τοῖς γηίνοις ἐγκαλινδούμενοι καλλωπίζεσθαι, ἀνόητόν τι καὶ περιττὸν ἡγεῖσθαι καὶ μηδὲν εἰς τὸν

βίον συνεισενεγκεῖν δυνάμενον πλέον ὅτι μὴ πολέμους ἐγείρειν δημοσίους καὶ ἰδίας ἀπεργάζεσθαι συμφορὰς τῶν περὶ ταῦτα ἐπτοημένων τὴν ἐπιθυμίαν ἀνάπτοντα δίκην φλογὸς καὶ πάντα τολμᾶν καὶ τὰ δεινότατα βιαζόμενα. Ἢ τίς οὐκ ἀποσχέσθαι θυμοῦ καὶ τῶν ἀπὸ θυμοῦ κακῶν εἰς τὴν ἐκείνου πραότητα καὶ μακροθυμίαν ἐπεθύμησεν ἂν ἰδών; Ἀγάπης δὲ τῆς πρὸς τὸν πλησίον καὶ συμπαθείας τῶν καθ᾽ ἥντινα οὖν κακοπραγίαν κακοπαθούντων, τίς ἢ θερμότερος ἐκείνου παντὶ σθένει συνεισενέγκασθαι τὴν ἑκάστῳ γιγνομένην ἐπικουρίαν ἢ τοῖς ἄλλοις περὶ τῶν ὁμοίων τὴν ἐκπλήρωσιν διδάσκαλος ἀκριβής; Δοκοῦσί μοι καὶ ξένοι τὸν φιλόξενον ἐπιζητήσειν καὶ τὸν προστάτην ἐν ἀνάγκαις καὶ πένητες τὸν πλουτιστὴν καὶ πλούσιοι τὸν σωφρονιστήν, οἱ ἐν ἀθυμίᾳ τὴν παραμυθίαν, οἱ ἐν εὐθυμίᾳ τὴν νουθεσίαν, τὴν βακτηρίαν οἱ γήρᾳ κάμνοντες καὶ ἡ νεότης τὸν παιδευτήν, οἱ νοσοῦντες τὸν συναιρόμενον αὐτοῖς τὴν νόσον καὶ τοὺς πόνους ὑποκουφίζοντα, οὐ τῇ παρακλήσει τῶν λόγων μόνον οἷς ἔπειθε τὰ παρόντα φέρειν γενναίως τῶν προτέρων ἀπαλλάττοντα μολυσμάτων ἢ τὴν εὐδοκίμησιν εἰς τὸ μέλλον ταμιευόμενα, ἀλλὰ καὶ τῇ θεραπείᾳ καὶ ὑπουργίᾳ, ἣν αὐτὸς δι᾽ ἑαυτοῦ προσάγειν οὐκ ἀπηξίου, οὐ τῇ χρείᾳ μόνον, τῇ τιμῇ δὲ τῶν ὀδυνῶν τὸ πλεῖον ὑποτεμνόμενος, οἱ ὑγιαίνοντες τὸν καὶ τῆς ἔνδον καὶ κατὰ ψυχὴν ποριστὴν ὑγείας, ἣν αὐτοῖς ἐνεποίει, νόθον μὲν ἅπαν καὶ παρέγγραπτον καὶ ἦθος καὶ δόγμα καὶ τῆς εὐσεβείας ἀλλότριον ἐξορίζων, ἀληθείας δὲ λόγοις καὶ συμφωνίᾳ τῶν λογίων τοῦ Πνεύματος, ὀρθοδοξίαν δογμάτων ἐμφυτεύων αὐτοῖς καὶ βίου σεμνότητα καὶ Θεῷ πολιτείαν φίλην, ὡς ἂν μὴ τῷ ἑτέρῳ σκάζοιεν ἀπολειπόμενοι τοῦ τελείου, μηδὲ νεκρὸν παρέχοιντο βίον ἢ λόγον ἐκ τοῦ μὴ τῇ συναφείᾳ τοῦ ἑτέρου διακρατεῖσθαι καὶ οἷον ῥώννυσθαι, ἀλλὰ τῆς οὕτως ἐνθέου καὶ ὑψηλῆς πολιτείας καὶ τῶν κατὰ Θεὸν ἀγώνων τε καὶ καμάτων οὐ μείζους μόνον, ἀλλὰ καὶ πολλῷ λαμπρότεροι καὶ περιφανέστεροι κάματοι διαδέχονται ἀγῶνά τινα πρὸς ἑαυτὸν ὥσπερ ἐνστησάμενον ἐξ ἀρχῆς μηδαμοῦ τῆς πρὸς τὸ κρεῖττον ἐπιδόσεως ἀπολείπεσθαι, ἀλλ᾽ ἀποστολικῶς εἰπεῖν ἐπὶ τὸ βραβεῖον τρέχειν τῆς ἄνω κλήσεως τῶν ὄπισθεν ἐπιλανθανόμενον, ἐπεκτεινόμενον δὲ τοῖς ἔμπροσθεν μετὰ πολλῆς τῆς ὑπερβολῆς, οὓς εἴ τις ἀντίδοσιν τῶν προτέρων καὶ Θεοῦ φιλότιμον ἀμοιβὴν λέγειν ἐθέλοι, οὐ πάνυ μοι δοκεῖ τοῦ καλοῦ καὶ τοῦ προσήκοντος ἁμαρτήσεσθαι· ἐπ᾽ αὐτὸ γὰρ ἀφῖκτο τὸ πρῶτον τῶν ἀγαθῶν στεφάνῳ μαρτυρίου τὴν κεφαλὴν κοσμηθεὶς ὁ καὶ διὰ βίου παντὸς ὅλον ἑαυτὸν ἀναθεὶς τῷ Θεῷ καὶ μαρτυρίου δρόμον τρέχων τῇ προαιρέσει, τὸ δ᾽ ὅπως ὁ λόγος ἤδη δηλώσων ἔρχεται.

Ἔπασχον κακῶς οἱ Κρῆτες τῷ Λατινικῷ περιεστοιχισμένοι πολέμῳ, ταῖς περιπλεούσαις ναυσὶν εἰργόμενοι τὸ ἔνδεον ἔξωθεν εἰσκομίζεσθαι, ἀφορίᾳ τε καρπῶν ἐν πλείοσιν ἔτεσιν ἐπίεζεν αὐτοὺς ὁ Θεός, οἷς οἶδε λόγοις ἀρρήτοις οἰκονομίας. Οἱ δὲ καὶ τρίτον κακὸν αὐτοὶ προσεπεσκεύασαν ἑαυτοῖς στασιάσαντες πρὸς ἀλλήλους καὶ πάντα τολμῶντες ἐπὶ τῇ σφετέρᾳ

καταδουλώσει καὶ χρήμασιν ὀλίγοις, ἃ λατῖνοι προΐεντο, τὴν ἐλευθερίαν ἀποδιδόμενοι. Οὐκοῦν ἐπειδὴ πρὸς τοσαύτην οὐκ ἦν ἀντέχειν κακῶν φοράν, ἀλλ᾿ ἔδει καὶ συμφορῶν μειζόνων εἰς πεῖραν αὐτοὺς ἐλθεῖν, τί γὰρ δεῖ πάντα καταλέγειν σὺν ἀκριβείᾳ; οὗ γὰρ δὴ τὴν ὧν ἐκεῖνοι πεπόνθασιν εἱλόμεθα συγγραφήν, καταπροδιδόασι μὲν ἀλλήλους, πάσχουσι δὲ τὰ δεινότατα ὥσπερ εἰκὸς τοὺς ὅπλοις κεκρατημένους, οἳ μὲν οἰκτίστῳ θανάτῳ διαφθαρέντες, οἳ δ᾿ ἐξανδραποδισθέντες πανοικεσίᾳ, ἕτεροι δ᾿ ἄλλο τι τῶν ὧν ἐδόκει τοῖς κεκρατηκόσι δυσχερῶν ὑποστάντες καὶ ἄλλως μὲν οἷα βαρβάροις οὖσιν ἀπαραιτήτοις πρὸς τὰς ὀργάς, τότε δ᾿ ὑφ᾿ ὧν αὐτοὶ πεπόνθασι καὶ μᾶλλον προσαναφθεῖσι πρὸς ἄμυναν τῶν δεδρακότων κακῶς. Ἐν τούτοις καὶ ὁ καλὸς ποιμὴν καὶ τοῦ Θεοῦ ἄνθρωπος συλλαμβάνεται, πρόφασιν μὲν ὡς ἐρεθίζων τοὺς Κρῆτας αὐτοῖς ἀνθίστασθαι καὶ χρονιώτερον τὸν πόλεμον εἰργασμένος· τοῦτο γὰρ αὐτοῖς ὥσπερ προσωπεῖον τῆς παρανόμου πράξεως ἐξευρέθη, τῇ δ᾿ ἀληθείᾳ τῶν προτέρων ἀμυνόμενοι διδαγμάτων, οἷς ἐνῆγε τοὺς Κρῆτας τῆς Λατίνων ἀπέχεσθαι κοινωνίας, κακῶς περὶ τὴν πίστιν διατεθέντων καὶ τοὺς τῶν ἁγίων πατέρων ὅρους καὶ λόγους ἴσον δ᾿ εἰπεῖν καὶ Θεοῦ, βλασφήμῳ γλώττῃ καὶ γνώμῃ κεκινηκότων καὶ δυοῖν κακῶν θάτερον αἱρεῖσθαι πάντως ἠναγκασμένων, ἢ τὴν μίαν ἀρχὴν θεότητος εἰς δύο κακῶς διαιρεῖν ἢ τὸ πνεῦμα τὸ ἅγιον πατρὸς καὶ υἱοῦ κατὰ τὸν τῆς οὐσίας λόγον ἀλλοτριοῦν, εἴ περ μὴ προσωπικὴν τὴν γέννησιν νοοῦσι καὶ τὴν ἐκπόρευσιν, ἀλλ᾿ οὐσιώδη, ἐπειδὴ μήτε γεννᾷ τὸ πνεῦμα μήτε προβάλλει. Δι᾿ ἃ δὴ καὶ τοῦ κοινοῦ τῆς ἐκκλησίας σώματος ὥσπερ νενοσηκὸς ἀποτέμνηνται μέλος, ἵν᾿ ἢ διορθωθοῖεν τὴν ὑγιᾶ πίστιν ἑλόμενοι καὶ κοινὴν ἢ τῷ ὑγιαίνοντι μὴ λυμαίνοιντο, δόξης πονηρᾶς καὶ διαστροφῆς δογμάτων ἀναπιμπλάντες. Ὧν δὴ τότε τὴν ἧτταν ὥσπερ ἀνακαλούμενοι δεσμωτηρίῳ τὸν ἅγιον κατακλείουσιν, ἕτερον μὲν οὐδὲν ὅτι μὴ τὴν κατὰ τὴν πίστιν ἐγκαλοῦντες διαφωνίαν, μέγα δ᾿ ἡγούμενοι εἰ πεῖσαι τοῦτον ἢ βιάσασθαι δυνηθεῖεν αὐτοῖς συνθέσθαι καὶ τὴν κοινωνίαν αὐτῶν ἀσπάσασθαι· ᾤοντο γάρ, εἰ τοῦτον ἕλοιεν, ῥαδίως ἁπάντων Κρητῶν κρατήσειν, ὥσπερ τινὰ ψῆφον ἐξ οὐρανοῦ νομιζόντων, ὅσ᾿ ἂν ἐκείνῳ δοκοίη καὶ μηδὲν τῆς ἐνοικούσης χάριτος νοεῖν ἢ φθέγγεσθαι ἀναξίως. Ἀλλ᾿ ἐψεύσατο ἡ ἀδικία προφητικῶς εἰπεῖν ἑαυτῇ, τοὐναντίον, οὗ προσεδόκησε, μᾶλλον ἐκ τῶν ἔργων ἐκβεβηκότος καὶ τοῖς ὑπὲρ εὐσεβείας ἐκείνου πόνοις τε καὶ κινδύνοις οὐ Κρητῶν μόνον, ἀλλὰ καὶ ὅσους ὁ σωτήριος ἐπέδραμε λόγος τοῖς ὀρθοῖς τῆς ἐκκλησίας δόγμασι στηριχθέντων. Τίς γὰρ ἐκεῖνον οὕτω στερρῶς ὑπὲρ τοῦ μὴ προσέσθαι τὴν ἐκείνων ἐν τοῖς δόγμασι κοινωνίαν ἀκούων ἠγωνισμένον ὡς καὶ θανεῖν ἑλέσθαι μᾶλλον, ἵνα μὴ τὰς μελλούσας ἐλπίδας καταπροδῷ, οὐκ ἂν τὴν ἐκείνων καταμάθοι διαστροφὴν καὶ προθύμως καιροῦ καλοῦντος τὴν ἴσην ἕλοιτο καὶ αὐτὸς ἐπιδείξασθαι καρτερίαν, ἵνα καὶ τῶν ἴσων ἐπιτύχῃ στεφάνων; Ὁ τοίνυν παρὰ Λατίνοις τὸν τῆς Κρήτης θρόνον πεπιστευμένος μέγα ὥσπερ ἔφημεν ἄγων, εἰ Ἄνθιμον ἕλοι καὶ τῇ

σφετέρᾳ κακοδοξίᾳ πεῖσαι συνθέσθαι, πρῶτα μὲν πολὺς ἦν θωπείαις χρώμενος καὶ ἀγαθῶν, ὡς αὐτὸς ᾤετο, μεγάλων, ἐπαγγελίαις, τρυφὴν καὶ πλοῦτον καὶ κοινωνίαν πρὸς αὐτὸν τοῦ θρόνου καὶ τῆς ἐκ τούτου δόξης ἐπαγγελλόμενος καὶ τοιαῦτα ἄττα, ἃ φαῦλα τοῖς εὖ φρονοῦσι καὶ τοῦ μηδενὸς ἄξια νομιζόμενα, μεγάλα δοκοῦσι τοῖς μηδὲν ὑπὲρ τὸ σῶμα τὸ τῆς ψυχῆς ὄμμα δυναμένοις διᾶραι καὶ κατοπτεῦσαι καλῶς τί μὲν τὸ ὄντως ἀγαθὸν καὶ μηδέποτε μεταπῖπτον μηδ᾿ ἀλλοιούμενον, τί δὲ τὰ ῥέοντα καὶ φθειρόμενα καὶ δοκοῦντα μὲν οὐκ᾿ ὄντα δὲ ἀγαθά, κἂν δοκῇ τοῖς περὶ τὸ σῶμα καλινδουμένοις. Ἐπεὶ δ᾿ ἐκεῖνον ἑώρα μηδαμῶς ἡττώμενον τῶν παρόντων, ἀλλ᾿ ἀληθῶς τὸ πολίτευμα κεκτημένον ἐν οὐρανοῖς καὶ πρὸς τὴν ἐκεῖθεν δόξαν βλέποντα μόνον καὶ διὰ τοῦτο τῶν μὲν ἐπαγγελιῶν ὀλίγα φροντίζοντα, τῶν ἐκείνου, τῆς δ᾿ ἀληθοῦς βεβαίως πίστεως ἀντεχόμενον καὶ ὑπὲρ ταύτης ἀποθανεῖν, εἰ δέοι, παρεσκευασμένον προθύμως, τὸ μὲν αὐτίκα θάνατον ἐκείνου καταψηφίζεσθαι παρῃτεῖτο, οὐ διὰ φιλανθρωπίαν μᾶλλον ἢ κακουργίαν, δεσμωτηρίῳ δ᾿ ἐκέλευε καθειργνύναι, δυοῖν θατέρου νομίζων πάντως οὐχ ἁμαρτήσεσθαι, ἢ γὰρ τὸν τόνον τῆς ἐνστάσεως παραλύσειν, τῇ χρονίῳ χαυνωθέντος κακώσει ἢ τό γε δεύτερον τῇ ἐκείνου λυμανεῖσθαι δόξῃ καὶ μετὰ θάνατον, ὡς οὐχ ὑπὲρ εὐσεβείας ἀποθανόντος, δημοσίων δ᾿ ἐγκλημάτων διδόντος δίκας. Τὸ δεσμωτήριον δὲ οὐχ ὡς ἄν τις ὑπολάβοι καὶ μικράν τινα παρέχον ἦν τῷ δεομένῳ παραψυχήν, ἀλλ᾿ ἀτεχνῶς Ἅδου χωρίον καὶ τάφος ἄντικρυς ἢ καὶ τάφου μᾶλλον βιαιότερον καὶ βαρύτερον, ὅσῳ τάφοι μὲν ἄψυχα σώματα καὶ ἀναισθήτως ἔχοντα δεχόμενοι τῶν κακῶν οὐδὲν λυποῦσι, τὸ δὲ θανάτου παντὸς ἀπανθρωπότερον καὶ βιαιότερον ἦν ἀνθρώπῳ ζῶντι καὶ τῆς βίας αἰσθανομένῳ· ὀρώρυκτο μὲν γὰρ ὑπὸ γῆν οὐκ ὀλίγον βάθος, κάτω δ᾿ εὐρύτητά τινα παρεχόμενον, ὅσον ἀνθρώπου μήκει σύμμετρον εἶναι, προϊὸν ἀεὶ τοῦ εὔρους ὑφῄρει, ἄχρις οὗ πρὸς αὐτῷ γινόμενον τῷ στομίῳ, μόλις δίοδον παρεῖχεν ἀνθρώπῳ καὶ τούτῳ γυμνῷ. Ἔξεστιν οὖν ἐννοεῖν, ὅσης ἀνάπλεων βίας ἦν, φωτὸς μὲν παντάπασιν ἀπεστερημένον, ἀέρος δὲ δυσώδους καὶ διεφθαρμένου μεστόν, νοτίδος δὲ καὶ σήψεως καὶ μυρίων ἄλλων κακῶν χωρίον, ὧν ἕκαστον ἐξήρκει τὸν κατακεκλεισμένον ἐν ὀλίγῳ κατεργάσασθαι χρόνῳ. Ἐν τούτῳ τὸν γενναῖον ἐκεῖνον ἀθλητὴν φέροντες κατακλείουσι γλίσχρως πάνυ καὶ πεφεισμένως καὶ τῶν ἀναγκαιοτάτων αὐτῶν, ἄρτου καὶ ὕδατος, παρεχόμενοι τὴν χρείαν, ἵνα μὴ τῇ τοῦ δεσμωτηρίου κακώσει παλαίῃ μόνον, ἀλλὰ καὶ λιμῷ καὶ δίψῃ καὶ πᾶσιν ἀνιαροῖς. Ἀλλ᾿ οὐδὲν ἐκείνου καθίκετο τῆς μεγάλης καὶ θαυμασίας ψυχῆς, οὐδ᾿ ἀγενέστερον ὀφθῆναι πρὸς τὴν ὑπὲρ τῆς ἀληθείας ἔνστασιν παρεσκεύασε, πάντα γὰρ ὑπήνεγκε μακροθύμως, τῇ μὲν διηνεκεῖ νηστείᾳ, οὕτω γὰρ τὴν ὀλιγάρκειαν ἐκείνην καλεῖν προσήκει, μᾶλλον ἐνηδόμενος ἢ τῶν φιλοσάρκων οἱ σφόδρα χοιρώδεις τῇ καθημερινῇ μέθῃ τε καὶ τρυφῇ, τῶν δ᾿ ὑπερλάμπρων καὶ χρυσορρόφων οἴκων καὶ μαρμάροις καὶ ψηφῖσι διηνθισμένων τὸν ζοφώδη λάκκον ἐκεῖνον αἱρετώτερον ἡγούμενος καὶ βελτίω, εἴ γε ἐκεῖθεν μὲν οὐδέν

ἔσι πρὸς λυσιτέλειαν ἀπώνασθαι ψυχῆς, τοῦ δ' ἤδει σαφῶς τὴν μετ' ἀγγέλων οἴκησιν ἀλλαξόμενος καὶ τὸ ἀΐδιον ἐκεῖνο φῶς, ὃ τοὺς ἁγίους περιαστράψει, φῶς καὶ αὐτοὺς γενησομένους τῇ μεταλήψει καὶ τῷ μεγάλῳ φωτὶ καὶ πρώτῳ συνεσομένους.

Ἐπεὶ δ' ἐνιαυτὸν ὅλον συνέζησε τῇ τοσαύτῃ κακοπαθείᾳ, νομίσας ὁ θὴρ ἐκεῖνος μᾶλλον ἢ ἱερεὺς καὶ τοῦ ἀνθρωποκτόνου μαθητής, ἀλλ' οὐ τοῦ πρᾴου καὶ φιλανθρώπου, τὴν ἔνστασιν ἐκείνῳ καταβεβλῆσθαι καὶ ῥᾴονι πολλῷ καὶ ταπεινοτέρῳ διὰ τὴν ἐκ τοῦ δεσμωτηρίου κακουχίαν περιτεύξεσθαι καὶ ῥᾳδίως αἱρήσειν καὶ πρὸς τὴν ἄθεσμον τοῦ πονηροῦ δόγματος ὑπάξεσθαι κοινωνίαν καὶ δευτέραν προσῆγε πεῖραν μετακαλεσάμενος ἐκ τοῦ λάκκου πρὸς ἑαυτόν. Οὐ μὴν ὥσπερ πρότερον ἐλευθερίως γοῦν καὶ χωρίς τινος ἀπάτης ἐσκέψατο προσβαλεῖν, ἀλλ' ἀγαπητὸν ἡγεῖτο κἂν εἰ δι' ἀπάτης τῆς ὀρθῆς ἀπαγαγεῖν πίστεως δυνηθείη καὶ τῆς ἐκείνου στερρᾶς ψυχῆς τὸν πύργον καταβαλεῖν. Καὶ τί δέ φησι; Σὺ μόνος ἀποσχήσῃ τῆς κοινωνίας τῆς ἡμετέρας καὶ πρὸς τοσοῦτον ἐκτραχηλισθήσει βάραθρον ἀπονοίας, ὥστε Βυζαντίων καὶ τῶν ἄλλων ὁπουδήποθεν ἐπισκόπων τὴν πρὸς ἡμᾶς ὁμόνοιαν ἀσπασαμένων καὶ πολλὰ τὴν ἐπὶ τοῦ προτέρου χρόνου μετακλαιομένων παρατροπήν, αὐτὸν ὥς τι πλέον πάντων διεγνωκότα τῆς ἐνστάσεως ἔχεσθαι καὶ μηδ' ὑπὸ τῶν περισχόντων γοῦν σωφρονισθῆναι κακῶν, ἀλλ' οὕτως ἄδοξον αἱρεῖσθαι θάνατον ἀνοήτως καὶ ταῦτ' ἐξὸν μὴ τῶν κακῶν μόνον ἀπαλλαγῆναι, ἀλλὰ πολλῶν μὲν ἀπολαύσαντα τῶν εὐεργεσιῶν παρ' ἐμοῦ, πλειόνων ὑπὸ τοῦ Ῥώμης, ὅς ἐστι κεφαλὴ πάσης ἐκκλησίας, ζηλωτὸν εἶναι καὶ μακαρίως ζῆν θαυμαζόμενον ὑπὸ πάντων; Ὁ δ' ὅπερ ἦν, ἀπάτην εἶναι τὰ εἰρημένα καὶ ψεῦδος συνείς, οὐδὲ γὰρ ἂν τοὺς οὕτω βίῳ καὶ δόγμασι διεφθαρμένους ὑγιές τι λέγειν ἢ φρονεῖν ποιήσεσθαι περὶ πλείστου, ἐμοί φησιν, αἱ παρ' ὑμῶν εὐεργεσίαι τε καὶ τιμαὶ τῶν συνεχόντων ὥσπερ ἔφης αὐτὸς κακῶν μᾶλλον κακίους φαίνονται καὶ διὰ τοῦτο φευκταί. Καὶ γὰρ χρημάτων μὲν περιουσίας τίς ἂν γένοιτο χρεία τῷ τοῖς ἀναγκαίοις μόνοις ζῆν εἰθισμένῳ, τιμὴν δέ, ἣ τῆς τοῦ Θεοῦ δόξης ἀποστερεῖ, τίς ἂν νοῦν ἔχων μὴ φαυλοτέραν πάσης ἀτιμίας ἡγοῖτο; Ὅτι μέντοι τῆς περὶ τὴν πίστιν καινοτομίας ἅπαντες ὑμῖν οἱ τῆς ἑῴας κεκοινωνήκασι, τίς ἡ ἀπόδειξις; Οὐ γὰρ τοῖς σοῖς θαρρήσομεν λόγοις, εἰ μὴ καὶ γράμματα παράσχοις μαρτυροῦντα τὴν κοινωνίαν, ὅπου γε καὶ τούτου παρόντος οὐδ' οὕτως ἡμᾶς εὐκόλους δεῖ καὶ τοῖς καιροῖς συμμεταβαλλομένους ῥᾳδίως εἶναι, ἀλλὰ χρὴ τοῖς ἄλλοις συγγενομένους καὶ τῶν ἀμφισβητουμένων ἕνεκα δόντας λόγον καὶ δεξαμένους, οὕτως ἢ δέχεσθαι τὰ δεδογμένα, ἂν μετὰ λόγου καὶ κρίσεως ὀρθῆς ὦσιν ἐψηφισμένα, ἢ τῆς προτέρας ἔχεσθαι διανοίας, εἴ γε τῆς ὀρθῆς περὶ Θεοῦ δόξης ἐφαπτομένη φαίνοιτο μᾶλλον· οὐ γὰρ ἀνάγκην, ἀλλὰ πειθὼ προηγεῖσθαι τῆς πίστεως ἀναγκαῖον καὶ πρὸς τοὺς κήρυκας τῆς πίστεως συμφωνίαν καὶ τοὺς μετ' ἐκείνους τὰ ἐκείνων, τῇ τοῦ θείου πνεύματος ἐνεργείᾳ καλῶς τρανώσαντας διδασκάλους ὡς ἂν κατὰ Παῦλον

ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν ὦμεν ἐρηρεισμένοι. Τούτοις τοῖς λόγοις ὥσπερ βροντῆς ἤχῳ καταπλαγεὶς ἐπὶ τὴν βίαν αὖθις ἐχώρει καὶ τὸν λάκκον κατεψηφίζετο. Καὶ τῶν προτέρων σκαμμάτων ὁ στερρὸς ἀγωνιστὴς τῆς πίστεως καὶ τῆς φύσεως εἶναι φιλονεικῶν ὑπέρτερος εἴχετο πάλιν οὐδὲν ἀγενὲς οὐδὲ μικρόψυχον ἢ παθὼν ἢ μελλήσας, ἀλλὰ φωτὶ τῷ ἀκραιφνεστάτῳ φωτιζόμενος τὴν ψυχὴν καὶ θεωρίαις θείαις κατατρυφῶν καὶ ἄρρητόν τινα καρπούμενος ἡδονήν, εἰ καὶ σκότος βαθὺ τὸ σῶμα περιεχεῖτο καὶ λιμῷ καὶ δίψῃ καὶ γυμνότητι συνέζη διηνεκεῖ. Οὐδὲν δὲ περιττὸν οὐδ' ἐπίφθονον ἴσως, εἴ καί τινα τῶν μελλόντων ἐκείνου πρόγνωσιν, ὥσπερ ἥδυσμα τῷ λόγῳ προσθῶμεν, ἵν' εἰδῶμεν ὁποίας ἠξίωτο χάριτος παρὰ Θεῷ, εἰ τῷ περιόντι τῆς ταπεινώσεως ἀνεκλάλητα κατεῖχε τὰ πλεῖστα παρ' ἑαυτῷ, τὴν παρ' ἀνθρώπων διωθούμενος εὐφημίαν, ἧς οὐδ' ἐξ ἀρχῆς ὤφθη πώποτε ἐπιθυμήσας ἀρκεῖν ἡγούμενος τὴν παρὰ τοῦ εἰδότος τὰ κεκρυμμένα προσγινομένην. Τοῖς ἱερεῦσι τῶν Κρητῶν ἐκέλευεν ἐπαγγέλλειν ἱλάσκεσθαι τὸν Θεὸν εὐχαῖς καὶ ἱκεσίαις καὶ δάκρυσι καὶ πᾶσιν οἷς οἶδε Θεὸς πρὸς ἔλεον ἐπικάμπτεσθαι, ὥστε τὴν ἐπερχομένην τοῦ πονηροῦ πεῖραν διαφυγεῖν καὶ μὴ ταῖς μηχαναῖς ἐκείνου παραχθέντας καὶ κακουργίαις παθεῖν τι τῶν ἀνηκέστων. Εἶναι γὰρ οὐ μικρὸν τὸν κίνδυνον οὐδ' ἐπὶ μικροῖς, ἀλλ' εἰς ψυχὴν ἄγοντα τὴν ζημίαν, οὐ μὴν οὐδ' αὐτὸν τοῦ καθήκοντος ἀμελήσειν, ἀλλὰ συλλήψεσθαι πάσῃ δυνάμει, θαρρεῖν δὲ ἐπείθοιντο καὶ κρείττους αὐτοὺς φανεῖσθαι τοῦ πειρασμοῦ. Καὶ γὰρ ἤδει σαφῶς τίς ὁ μόνος ἐξαρκέσων ἀντιστῆναι τῷ πονηρῷ, εἰ καὶ τῆς ἐκείνων συνεργίας τῷ μετρίῳ τοῦ φρονήματος ἔφασκε δεῖσθαι, εὐγνωμονεστέρους ποιῶν ἐκείνους καὶ πρὸς τὸν Θεὸν καταφεύγειν διδάσκων ἐν πειρασμοῖς καὶ τὴν ἐκεῖθεν βοήθειαν ἀπεκδέχεσθαι. Ὀλίγον τὸ μεταξὺ καὶ ὁ Λατῖνος τὸν τῶν ἱερωμένων σύλλογον συναθροίσας, τῆς πίστεως εὐθύνας ἀπῄτει καὶ τὴν αὐτοῦ δεῖν ἔφασκεν ἀσπάζεσθαι κοινωνίαν, εἰ μὴ βούλοιντο κακῶν εἰς πεῖραν πολλῶν ἐλθόντες ἑαυτοὺς πολλὰ τῆς ἀβουλίας ὕστερον καταμέμψασθαι. Τί οὖν ἐκεῖνοι; Τὸν μέγαν μὲν τῆς προρρήσεως ἐξεπλήττοντο· καὶ γὰρ ἦν φανερῶς εἰς ἔργον ἐκβᾶσα, ἤδη δὲ καὶ περὶ τοῦ μέλλοντος ἀσφαλεῖς ἔχοντες τὰς ἐλπίδας ἐπὶ τὴν ἐκείνου καταφεύγουσι προστασίαν καὶ δέονται μὴ τὰ πρὸς Θεὸν αὐτοῖς μόνον γενέσθαι καὶ τὴν προσβολὴν ἀποκρούσασθαι ταῖς εὐχαῖς, ἀλλὰ καὶ πρὸς ἀπολογίαν αὐτοὺς ἀλεῖψαι καὶ οἷς τισι λόγοις χρώμενοι τὸν πειράζοντα νικήσουσιν ὑποθέσθαι, ὧν καὶ τυχόντες καὶ τοῖς ἐκείνου φραξάμενοι λόγοις καὶ εὐχαῖς ἀπαθεῖς κακῶν καὶ τῆς πείρας ὤφθησαν κρείττους, τὸν βιαζόμενον καταισχύναντες καὶ πολλὰ τῆς προπετείας ἑαυτὸν παρασκευάσαντες καταμέμφεσθαι. Τοῦτο μὲν δὴ τοιοῦτον καὶ τῶν πολλῶν ἕν, ὧν ἐκεῖνος ἠξίωτο χαρισμάτων. Ἐπεὶ δὲ τὴν πικρὰν ἐκείνην βάσανον καὶ τῆς ἐκείνου ψυχῆς ἡττωμένην μόνον, ἐφ' ἑτέροις δυσὶν ἔτεσι μετὰ πολλῆς μακροθυμίας διεκαρτέρησεν, ἐπὶ τρίτην αὖθις ἄγεται πεῖραν, ὥσπερ ὁ ἐμὸς πρότερον Ἰησοῦς τρὶς ἐπειράσθη κατὰ τὴν ἔρημον

ἀναχθείς, ὡς ἂν καὶ οὗτος ἐκείνῳ χρώμενος διδασκάλῳ, τρίτον νικήσας, νομίμως στεφανωθῇ, τὴν πίστιν τηρήσας καὶ τὸν καλὸν ἀγῶνα ἠγωνισμένος. Οὐ μὴν ὥσπερ πρότερον ὁ τύραννος ἐθάρρησεν ἀντιτάξασθαι φανερῶς, οὐδὲ παρρησίᾳ αὐτῷ τινος μεταδοῦναι καὶ καιροῦ πρὸς ἀπολογίαν· ᾔδει γὰρ οὐδ' ἀντιβλέψαι δυνησόμενος πρὸς ὀλίγον, ἀλλ' αὐτὸς πρὸς τῷ δεσμωτηρίῳ γεγονὼς καὶ κελεύσας ἄχρις ὀσφύος τὸν ἅγιον ἀνιμήσασθαι, ἔτι τοῖς σχοινίοις ἠωρημένον μετὰ πολλῆς τῆς δεινότητος καὶ πικρίας, εἰ τῇ χρονίῳ αὖ γοῦν ἠρώτα κακοπαθείᾳ σωφρονισθείς, αἱροῖτο τὴν αὐτῶν ἀσπάσασθαι κοινωνίαν ἢ τοῖς αὐτοῖς ἐπιμένων εἰς τὸν λάκκον αὖθις ἀπορριφθῇ βιαίως τὴν ψυχὴν ἀπορρήξων. Ὁ δέ, καὶ γὰρ ἤδη τῇ πολλῇ κατείργαστο ταλαιπωρίᾳ πάσης αὐτῷ δυνάμεως ἀναλωθείσης καὶ μόνῳ τῷ ἀναπνεῖν πιστευόμενος ὅτι ζῇ, μόλις τὴν γλῶτταν ὑποκινήσας, εἰ τοῦ νῦν ἔχοντος, εἶπεν, ἑκατονταπλασίονι λάκκῳ με κατακλείσεις, τῆς ὀρθῆς πίστεως οὐκ ἂν ποτε μεταστήσαις, οὐδ' ἀντιπείσαις ἄλλο φρονεῖν παρὰ τὰ δεδογμένα κοινῇ ταῖς ἁγίαις τῶν πατέρων συνόδοις, οἷς ὥσπερ λογίοις ὑπὸ τοῦ Θεοῦ κεχρηματισμένοις ἐμοί τε καὶ χριστιανῷ παντὶ προσέχειν ἀνάγκη. Ἔτι δὲ βουλομένου τὸν λόγον συναίρειν καὶ τελεωτέραν τὴν ἀπολογίαν ποιεῖσθαι ὁ τύραννος ὥσπερ ἐκ πρώτης ἀφετηρίας νενικημένος καὶ τὴν ἐκείνου μετάθεσιν ἀπογνοὺς ἐκέλευεν ἀπάγειν τὴν ἐπὶ θάνατον ἐπὶ τὸν λάκκον ἀπορρίψαντας αὖθις καὶ μηδ' ἧστινος οὖν προνοίας προσεπειπὼν ἀξιοῦν. Ἔρριπτο μὲν οὖν ἐπὶ τὸν λάκκον ὁ τῶν οὐρανῶν ἄξιος καὶ τῶν ἀγγέλων συμπολίτης ἡμιθνὴς ἤδη καὶ τῷ πλείστῳ μέρει τοῦ σώματος ἐκδημήσας· καὶ γὰρ ἦν ἰδεῖν ἐκεῖνον δακρύων ἄξιον θέαμα, εἴ τις πρὸς τὴν φύσιν ἀποβλέποι καὶ τὴν ἀσθένειαν τῆς σαρκός. Σάρκας μὲν γὰρ ἀφῄρητο πάσας, ὀστᾶ δὲ μόνον ἦν ἐνειρμένα νεύροις καὶ δέρματι συνεχόμενα καὶ τούτῳ μέλανι καὶ κατεσκληκότι, τρίχας δ' ἀπερρύηκε παντελῶς καὶ ὀφθαλμοῖς ἐγνωρίζετο μόνοις ἄνθρωπος εἶναι, ἀλλὰ μὴ φάσμα τι ξένον καὶ φοβερὸν ἰδεῖν τε καὶ προστυχεῖν. Οὕτω δὲ τὰ τελευταῖα πνέων εἰς τὸν λάκκον ἀπορριφθείς, ἄλλως τε δὲ καὶ προνοίας ἔρημος παντελῶς οὐ διήρκεσεν ἐπὶ πλεῖστον, ἀλλὰ πρὸς ὃν ἐπόθει Θεὸν μετέστη τῶν πολλῶν ἀγώνων τε καὶ καμάτων φιλοτίμους καὶ θαυμασίας ἀποληψόμενος ἀμοιβάς. Ἄδηλον δ' εἰ μὴ καὶ παρὰ Λατίνων βιαιότερον ἀνῃρέθη· καὶ τοῦτο γὰρ ἔχει λόγος οὐδενός τινος τὸν τρόπον ἐγνωκότος τῆς αὐτοῦ τελευτῆς, ἐπεὶ μηδὲ τῶν γνωρίμων ἢ τῶν οἰκείων ἡ πρὸς ἐκεῖνον εἴσοδος συνεχωρεῖτό τινι πλὴν ὅτι τοῦτο πᾶσι γνώριμον καὶ σαφὲς ὡς μαρτυρίου δρόμον ἀνύσας καὶ στερρῶς ὑπὲρ τῆς εὐσεβείας ἠγωνισμένος μαρτυρικῷ καὶ τέλει κατέλυσε τὴν ζωήν. Μετὰ μέντοι τὴν τελευτὴν ἀναχθεὶς τοῦ λάκκου πρὸς τῶν ἀνῃρηκότων αὐτὸν ἀτίμως τὸ τοῦ παντὸς ἄξιον ὑπὸ ψάμμον τινὰ κατεκρύφθη σῶμα, τὸ καὶ ἀγγέλοις αἰδέσιμον ἀναιδῶς τε καὶ ἀπανθρώπως ἢ τό γε ἀληθέστερον ἀσεβῶς εἰπεῖν περιυβρισθέν. Οὐ γὰρ συνεχωρήθη τοῖς ὀρθοδόξοις ἡ ἐκείνου ταφὴ τὸν ἐκ τῶν πραγμάτων ἔλεγχον μηχανωμένων τῶν ἀνῃρηκότων διαδι-

δράσκειν. Ἤδεσαν γὰρ ὡς μάρτυρά τε τιμηθησόμενον καὶ πολλῆς δορυφορίας ἀπολαύσοντα καὶ τιμῆς. Τίσιν οὖν ἄν τις χρησάμενος λόγοις ἢ ποίων ἐγκωμίων ὑπερβολῇ τῆς ἀξίας οὐκ ἂν δόξειεν ἀπολείπεσθαι μηδὲ πλέον εἶναι τοῦ προσληφθέντος τὸ παρεθέν; Εἵλετο μὲν γὰρ ἐκ βρέφους τὴν ἀρετὴν καὶ πολλοῖς ἐνίδρωσε πόνοις ἀσκητικοῖς καὶ πᾶν μὲν τῆς ψυχῆς ἐξώρισε πάθος, οὐκ ἐπί τινα χρόνον οὐδ' ἀνακωχὴν διδοὺς τῷ πρὸς τὴν κακίαν πολέμῳ, ἀλλὰ διὰ βίου παντός, ἴσος ἑαυτῷ καὶ ὅμοιος ἀναφανεὶς καὶ ὥς περ ἁρμονίαν τινὰ καὶ τάξιν ἄλυτον ἐν παντὶ χρόνῳ διατηρήσας, πᾶν δ' ἀρετῆς ἐξήσκησεν εἶδος ὥσπερ εἰκόνα τινὰ παντὸς καλοῦ καὶ ἀρχέτυπον εἰς κάλλος ἑαυτὸν ἀποξέσας. Οὕτω δὲ καλῶς τὴν πρᾶξιν ἐκμελετήσας ἐπέβη τῆς θεωρίας καὶ τὰ τῆς θεολογίας ἀσφαλῶς ἠρεύνησε βάθη, ἐξ ἧς ἀκριβὴς ὀρθῶν δογμάτων διδάσκαλος ἀπεδείχθη, οὐ κηρύξας μόνον καὶ παρρησιασάμενος, τοῦ καιροῦ καλοῦντος, ἀλλὰ καὶ ὑπὲρ αὐτῶν ἑλόμενος ἀποθανεῖν, ὥστ' αὐτὸν ἐξεῖναι τῷ βουλομένῳ πάσῃ καλῶν ἰδέᾳ κατασεμνύνειν, ἀσκητικῶς μὲν τὴν σάρκα καταπαλαίσαντα καὶ φιλόσοφον ἔργοις ἀποδειχθέντα, διδασκαλικοῖς δὲ χαρίσμασι κοσμηθέντα καὶ τὸ τοῦ Κυρίου ποίμνιον ἐπιστημόνως καὶ ὡς ἐκείνῳ φίλον τῆς εὐσεβείας ἐκθρέψαντα τῇ νομῇ καὶ τελευταῖον ἀθλητικοῖς ἀγωνίσμασιν ἐγκαρτερήσαντα μέχρι θανάτου καὶ τοὺς στεφάνους τῆς νίκης ἀπειληφότα καὶ φιλοτίμων βραβείων παρὰ τοῦ δικαίου κριτοῦ καὶ ἀγωνοθέτου τετυχηκότα. Τοιγαροῦν οὐδ' εἰ τοῖς ἀρχαίοις ἐθέλοιμεν παραβάλλειν, δικαίως τις ἂν ἡμῖν ἐπισκήψαι ὡς τοῦ δέοντος ἔξω πίπτουσι· πρὸς ἐκείνους καὶ γὰρ εὐθὺς ἐξ ἀρχῆς τὴν ἅμιλλαν ἐνεστήσατο μηδενὸς ἐκείνων, ἐν οἷς εὐδοκίμουν, σπουδάσας ἀπολειφθῆναι. Ὀλίγα δ' ὅμως ἐκλεξάμενοι τῶν ἐκείνου καὶ τῶν ἀρχαίων τοῖς κατορθώμασι παραθέντες ἐκ τῶν διδασκάλων τὸν μαθητὴν γνώριμον καταστήσομεν.

Οἱ ἐν Βαβυλῶνι παῖδες λατρεῦσαι τῇ τοῦ τυράννου μὴ πεισθέντες εἰκόνι, παρεδόθησαν τῷ πυρὶ καὶ πλὴν τῶν δεσμῶν ἄθηκτοι διεσώθησαν καθάπαξ ἐν τῇ φλογὶ καὶ οὗτος, ἵνα μὴ τὴν εἰκόνα τῆς εὐσεβείας παραχαράξας ἄλλο τι σέβοιτο μᾶλλον ἢ Θεὸν τὸ τοῦ τυράννου πρόσταγμα καταπτήξας τῇ φλογὶ τῶν πειρασμῶν παρεδόθη, ὑφ' ὧν τοῦ σώματος ἀπολυθεὶς τῶν δεσμῶν ἄθικτος καὶ ἀκέραιος τοῖς ἀγγέλων τάγμασιν ἠριθμήθη τὸν τρισάγιον ὕμνον ἀκαταπαύστως Θεῷ προσάγων.

Δανιὴλ ἐνεβλήθη λάκκῳ λεόντων καὶ τῶν θηρίων ἤμβλυνε τῇ κατ' αὐτὸν χάριτι τὰς ὁρμὰς ἀπαθὴς κακῶν διαμείνας καὶ τροφὰς ἐδέξατο πεμφθείσας ἐκ Θεοῦ, προφήτου χειρί. Ἀλλὰ καὶ οὗτος λάκκῳ πολλαπλασίονα χρόνον ἐκαρτέρησε καὶ τὰς ὁρμὰς τοῦ νοητοῦ λέοντος οὐκ ἀπήμβλυνε μόνον, ἀπράκτους ἀποδείξας πάσας καὶ μάτην ἐσπουδασμένας, ἀλλὰ καὶ παντελῶς ἐνέκρωσε τοὐναντίον ἅπαν ἐκ τῶν ἔργων δείξας ἐκβεβηκός· τῷ μὲν γὰρ δι' ἐκείνου τοὺς ἄλλους ὑπαχθῆναι τῇ πλάνῃ σπουδὴ πολλή, ὁ δ' ἐξ ὧν ἀνδρείως ἀντικατέστη πρὸς πάντα κίνδυνον, πάντας ὥπλισε πρὸς τοὺς ὑπὲρ εὐσεβείας διωγμοὺς καὶ κινδύ-

νους. Εἰ δὲ μὴ δι' ἀγγέλου τροφὴν ἐδέξατο σωματικήν, ἀλλὰ τοῖς Θεοῦ λόγοις ἐνετρύφα πᾶσαν ἡμέραν, οἵ τοὺς ἀξίους τῆς αἰσθητῆς τροφῆς μᾶλλον ἴσασι τρέφειν, ἐπεὶ καὶ Χριστὸς αὐτὸς ἐν οἷς ἐπειράζετο οὐκ ἐπ' ἄρτῳ ζήσεσθαι μόνον ἄνθρωπον, ἀλλ' ἐν παντὶ ῥήματι Θεοῦ πρὸς τὸν πειραστὴν ἀπεφήνατο. Εἰ δὴ μὴ παντάπασιν ἄδηλα κατελείφθη τὰ πρὸς ἐκεῖνον ὑπὸ Θεοῦ πεπραγμένα κατὰ τὸν λάκκον, τάχ' ἂν οὐδὲ ταύτης οἱ περὶ ἐκείνου λόγοι τῆς φιλοτιμίας ἀπεστερήθησαν· οὐδὲ γὰρ ἐπὶ τοσοῦτον ἤρκεσε χρόνον ἀσιτίᾳ μακρᾷ παλαίων, εἰμὴ νοητὴν ἢ καὶ αἰσθητὴν ἐξ οὐρανοῦ δεχόμενος ἦν τροφήν. Ἱερεμίας ἐνεβλήθη λάκκῳ βορβόρου, ἀλλ' ἐπ' ὀλίγον, τούτῳ δ' εἰμὴ ὁμοίως ὁ λάκκος δυσώδης ἦν, ἀλλὰ τῇ παρατάσει τοῦ χρόνου τὴν τοῦ βορβόρου δυσωδίαν τίς πειραθεὶς οὐχ ἧττον εὑρήσει πρὸς κακοπάθειαν, Ἰὼβ ἐπὶ καρτερίᾳ παρὰ πάντων ὑμνεῖται ὅτι, καίτοι δίκαιος εἶναι μεμαρτυρημένος ὑπὸ Θεοῦ, ὅμως ὑπὸ τοῦ πειράζοντος αἰτηθεὶς πολλοῖς κακοῖς ἐνεβλήθη, ἵνα δίκαιος μᾶλλον ἀναφανῇ καὶ τραυματίας ὅλος καὶ γυμνὸς μετὰ τοῦ πλούτου τὴν ἀφαίρεσιν καὶ τῶν παίδων τὴν ἀποβολὴν καὶ παραμυθίας τινὸς χωρὶς καθήμενος ἐπὶ κοπρίας οὐδὲν ἀγενὲς πρὸς τὸν Θεὸν ἐνενόησεν ἢ ἐφθέγξατο, ἀλλ' εὐγνωμόνως καὶ μακροθύμως ἤνεγκε τὰς πληγὰς καὶ πρὸς τῶν φίλων ἀντέσχε τὰς παροινίας κακῶς παραμυθουμένων καὶ τῶν σωματικῶν πικροτέρας ἐπαγόντων τῇ τοῦ δικαίου ψυχῇ πληγάς. Ἀλλὰ καὶ οὗτος παρὰ πάντα μεμαρτύρηται τὸν βίον ἄμεμπος εἶναι καὶ πλούσιος ἐπ' ἐργασίᾳ τῶν ἐντολῶν τοῦ Χριστοῦ καὶ ὑπὸ τοῦ πειράζοντος ὥσπερ ἐκεῖνος ἐξαιτηθεὶς ἀνηκέστοις κακοῖς καὶ πειρασμοῖς ἐνεβλήθη, ἀλλ' ἐν πᾶσι τούτοις οὐδὲν πρὸς Θεὸν ἡμαρτηκὼς οὐδὲ τοῖς χείλεσι γοῦν εὑρέθη. Τοὐναντίον μὲν οὖν αὐτός τε δόξαν ἦν Θεῷ προσάγων διὰ παντός, ἐφ' οἷς ἠξίωτο πάσχειν ὑπὲρ ἐκείνου καὶ τοὺς ἄλλους πρὸς εὐφημίαν ἐξεκαλεῖτο, ἐφ' οἷς ἐκεῖνον ἑώρων τῆς εὐσεβείας ὑπεραθλοῦντα. Εἰ δὲ μὴ φίλους εἶχε τοὺς ὀνειδίζοντας καὶ τὴν παροῦσαν κάκωσιν ἔκτισιν προτέρων λογιζομένους ἁμαρτημάτων, ἀλλ' ἡ τῶν οἰκείων ἀποστέρησις πάντων καὶ φίλων καὶ τῶν γνωρίμων οὐκ ἐλάττους τούτου τῇ ψυχῇ τὰς ἀλγηδόνας ἐμποιεῖν δικαίως ἂν νομισθείη. Εἰ δὲ δεῖ καὶ τοῖς μετὰ τὴν χάριν ἐπ' εὐσεβείᾳ γενομένοις γνωρίμοις τὰ ἐκείνου παρεξετάζειν, τῶν Χριστοῦ μὲν μαθητῶν φανεῖται τὸν ζῆλον ἐνδεδειγμένος καὶ τὴν πρὸς τοῦ εὐαγγελίου τὸ κήρυγμα σπουδήν τε καὶ προθυμίαν, ποιμένων δὲ καὶ διδασκάλων τὴν ἐν τοῖς δόγμασιν ἀκρίβειαν καὶ τὴν ἐπιμέλειαν τοῦ ποιμνίου μεμυημένος, ὁσίων τὴν ἀκτησίαν καὶ τὸ ἐν προσευχαῖς οἷον ἄϋλον καὶ ἀσώματον, μαρτύρων δὲ τῆς καρτερίας καὶ τῆς πρὸς τοὺς τυράννους παρρησίας οὐδὲν ἀπολελειμμένος· ἐξ ὧν καὶ τῶν αὐτῶν αὐτοῖς βραβείων ἔτυχε καὶ στεφάνων μέχρι θανάτου τῇ καλῇ τῆς πίστεως ἐγκαρτερήσας ὁμολογίᾳ. Τούτοις σου τοῖς ἐγκωμίοις καὶ ἡμεῖς ἐγκαλλωπιζόμεθα, ποιμένων ἄριστε καὶ διδασκάλων, καί τι νομίζομεν παραπολαύειν τῆς εὐφημίας τῷ τηλικαῦτα περὶ σοῦ τοῖς ἄλλοις ἔχειν ἐκδιηγεῖσθαι, ὃς καὶ ζῶν ἡμᾶς ἐν τοῖς πρώτοις ἦγες τῶν φιλουμένων καὶ κοινωνοὺς ἐν οἷς ἐξῆν ἕπεσθαι παραλαμβάνειν οὐκ ἀπηξίους, εἰ δὲ καὶ μεταστάντας ταῖς σεαυτοῦ σκηναῖς δέξαιο τῷ μεγάλῳ τοῦ Χριστοῦ βήματι παραστήσας ἀκατακρίτους σὸν ἔργον καὶ τῆς σῆς παρρησίας καὶ τῆς πρὸς τοὺς φιλοῦντας κηδεμονίας ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

Κ. Ι. ΔΥΟΒΟΥΝΙΩΤΗΣ

ΑΓΙΟΛΟΓΙΚΑ

ΒΙΒΛΙΟΓΡΑΦΙΑ ΤΩΝ ΑΚΟΛΟΥΘΙΩΝ

Τὸ ἁγιολογικὸν πεδίον εἶναι μέγα καὶ ἀπέραντον καὶ μέχρι τοῦδε ἀνεξερεύνητον καθ' ὅλην αὐτοῦ τὴν ἔκτασιν. Αἱ πολύτιμοι καὶ θαυμασμοῦ ἄξιαι τῶν Βολλανδιστῶν πατέρων ἐργασίαι, αἵτινες ἐγνώρισαν ἡμῖν τὸν ἁγιολογικὸν πλοῦτον, εἰσέτι δὲν ἔληξαν. Εἰς τὰς Βιβλιοθήκας τῆς Ἀνατολῆς καὶ τῆς Δύσεως κεῖνται ἀκόμη πολλὰ μνημεῖα ἄγνωστα, τὰ ὁποῖα βαθμηδὸν βλέπουσι τὸ φῶς. Οἱ ξένοι σοφοὶ ἐργάζονται μετὰ ζήλου πρὸς τὸν σκοπὸν τοῦτον διὰ νὰ μάθωμεν ἡμεῖς δι' αὐτῶν τὴν ἁγιότητα τοῦ βίου καὶ τὰς πράξεις τῶν πατέρων μας. Ἀλλ' ἂν δὲν ἠξιώθημεν ἡμεῖς αὐτοὶ πρῶτοι νὰ καταστήσωμεν γνωστοὺς εἰς τὸν κόσμον τοὺς πνευματικούς μας θησαυρούς, ἂς μὴ παραλείψωμεν νὰ χρησιμοποιήσωμεν αὐτοὺς εἰς τὸν πνευματικὸν ἡμῶν βίον. Ἡ ὠφέλεια θὰ εἶναι μεγάλη ἀπὸ πάσης ἀπόψεως, ἠθικῆς, ἱστορικῆς καὶ φιλολογικῆς. Εἰς τὰ ἁγιολογικὰ μνημεῖα, τὰ πεζὰ καὶ τὰ ἔμμετρα, περικλείεται ὁλόκληρος βίος ψυχικὸς καὶ ἠθικός, αὐτὸ τὸ πνεῦμα καὶ ἡ δύναμις γενεῶν ὁλοκλήρων. Τὸ θρησκευτικὸν αἴσθημα ἀποτελεῖ τὴν βάσιν καὶ τὸν ἄξονα περὶ τὸν ὁποῖον στρέφεται ὁ ἀρχαῖος βίος τῶν πατέρων ἡμῶν καθ' ὅλας αὐτοῦ τὰς ἐκφάνσεις. Καὶ ὁ βίος οὗτος ὁ πολύστροφος καὶ πολυποίκιλος τότε μόνον θὰ γίνῃ γνωστὸς καὶ κατάδηλος, ὁπόταν ἑκάστη κατὰ τόπους ἐκκλησία θελήσῃ νὰ ἐξερευνήσῃ καὶ εὕρῃ τοὺς ἐν τῷ θέματι αὐτῆς βιώσαντας καὶ τελειωθέντας ἁγίους. Καὶ πρὸς τὸν σκοπὸν τοῦτον ἀποβλέπουσιν αἱ μέχρι τοῦδε γενόμεναι ἐργασίαι ἡμῶν καὶ ἐξακολουθοῦσι μεθ' ὑπομονῆς εἰς τὴν προπαρασκευὴν τοῦ ἀπαιτουμένου ὑλικοῦ πρὸς οἰκοδομὴν τοῦ ἱεροῦ ἔργου. Τὸ πρόγραμμα τῶν ἐργασιῶν ἡμῶν, πολυσύνθετον καὶ δυσχερέστατον, κατατείνει εἰς ἕνα τελικὸν σκοπόν, εἰς τὴν κωδικοποίησιν τοῦ μεγάλου ἁγιολογικοῦ ἀρχείου, τοῦ μερικοῦ, τῶν ἐπὶ μέρους ἐκκλησιῶν, καὶ τοῦ γενικοῦ τῆς ὅλης ὀρθοδόξου ἐκκλησίας. Καὶ προκαταρκτικῶς μὲν διὰ τῆς δημοσιεύσεως τριῶν ἁγιορειτικῶν καταλόγων, Βατοπεδίου, Λαύρας καὶ Καυσοκαλυβίων, ἐγένοντο γνωστὰ τὰ ἐν ταῖς Βιβλιοθήκαις τοῦ Ἁγίου Ὄρους ἀποκείμενα ἄγνωστα, διὰ παραρτήματος δὲ εἰδικοῦ τῶν δύο μεγάλων Βιβλιοθηκῶν Λαύρας καὶ Βατοπεδίου διεχωρίσθησαν τὰ ἁγιολογικὰ μνημεῖα, ἤτοι οἱ βίοι τῶν ἁγίων, τὰ μαρτύρια, τὰ θαύματα, τὰ εἰς αὐτοὺς ἐγκώμια καὶ οἱ λόγοι καὶ εἴ τι σχέσιν ἔχει μὲ τὸν βίον καὶ τὴν πολιτείαν αὐτῶν. Ἡ ἐργασία αὕτη ἦτο ἀπαραίτητος καὶ ἀναπόφευκτος, ἐδικαίωσε δὲ πλήρως τὰς ἐλπίδας μου, διότι

ἐκ τοῦ σκότους προῆλθον εἰς φῶς σπουδαιότατα ἁγιολογικὰ μνημεῖα ἀγνοούμενα καὶ ἐπιζητούμενα. Ἀλλὰ τὰ ὑπάρχοντα κενὰ διὰ τῆς εὑρέσεως τῶν νέων βίων τῶν ἁγίων δὲν συνεπληροῦντο. Οἱ βιογραφούμενοι ἅγιοι εἶναι ὡρισμένοι καὶ μεμετρημένοι, οἱ μεγάλοι καὶ ἐξέχοντες, τὰ νέφη τῶν λοιπῶν μαρτύρων, ἁγίων, ὁμολογητῶν καὶ ὁσίων παρέμενον σκοτεινά· ἐδέησε νὰ στραφῇ ἡ προσοχὴ ἡμῶν εἰς ἄλλον παράλληλον ἁγιολογικὸν κλάδον πρὸς θεραπείαν τῶν χασμάτων, εἰς τὴν ἱερὰν ποίησιν, ἥτις θὰ ἐχορήγει ὅλα τὰ στοιχεῖα πρὸς συγκρότησιν τοῦ βίου καὶ τῆς πολιτείας ἑκάστου ἁγίου. Καὶ συνελέγη μὲν οὕτω κολοσσιαῖον ποιητικὸν ὑλικὸν προωρισμένον νὰ πληρώσῃ πολλὰ ἐνυπάρχοντα κενά, τὸ ὁποῖον καὶ ἤρξατο ἤδη ἐκδιδόμενον, ἀλλὰ καὶ τοῦτο δὲν ἔλυε πλήρως τὸ ζήτημα. Καὶ ἐστράφην ἀλλαχοῦ, εἰς τὰ σύντομα τῶν ἁγίων ὑπομνήματα, εἰς τὰ λεγόμενα Συναξάρια, ἀλλ' εὑρέθην ἐντὸς χάους σκοτεινοῦ καὶ ἀδιεξόδου, ὅπου ὠργίασεν ἡ φαντασία καὶ κατεκάλυψε τὰς ἀκτῖνας τοῦ φωτὸς αἱ ὁποῖαι θὰ ὡδήγουν εἰς τὴν ἱστορικὴν ἀλήθειαν. Αἱ γενόμεναι τῶν Συναξαριστῶν ἐκδόσεις, Μαργουνίου, Νικοδήμου καὶ Delehaye δὲν ἔλυον τὸ δυσχερὲς πρόβλημα, ἐπὶ περιωρισμένου ἀριθμοῦ Κωδίκων στηριζόμεναι· ἦτο ἀνάγκη νὰ ἐρευνηθῶσι πολλοὶ Κώδικες καὶ εὑρεθῶσι νέοι βίοι πρὸς ἀνακάλυψιν τῆς ἀληθείας. Ἡ πληρεστέρα καὶ καλλιτέρα τῶν Συναξαρίων ἔκδοσις τοῦ πατρὸς Delehaye [1] περιωρίσθη εἰς τὴν ἀκριβῆ μόνον τοῦ κειμένου παράστασιν ἄνευ ἄλλης πραγματικῆς κριτικῆς ἐργασίας. Παράδειγμα. Κατὰ τὴν ιζ' Μαΐου ἀναγράφεται ἡ μνήμη «Ἀνδρονίκου τοῦ ἀποστόλου καὶ Ἰουνίας». Ὁ Delehaye δὲν διέκρινεν ὅτι ὁ Ἰουνίας εἶναι ἀρσενικὸν ὄνομα καὶ οὐχὶ θηλυκόν, ἐνῷ ὁ Συναξαριστὴς ἐπὶ τοῦ ὁποίου ἐβασίσθη τῷ παρεῖχε νύξεις νὰ κατανοήσῃ ὅτι περὶ ἀνδρὸς πρόκειται καὶ οὐχὶ περὶ γυναικός, ἐν οἷς λέγει· «οὗτος ὁ τοῦ Κυρίου μαθητὴς καὶ ἀπόστολος... τὴν πλάνην ἐκ βάθρων ἀνέσπασε τὸν Χριστὸν κηρύττων συνεπομένην ἔχων καὶ τὴν ὑπερθαύμαστον Ἰουνίαν τῷ κόσμῳ ἤδη νεκρωθέντα καὶ τῷ Χριστῷ μόνῳ ζῶντα»! ὁμοίως καὶ ὁ Νικόδημος καὶ ὁ Κουτλουμουσιανὸς ἐν τοῖς Μηναίοις, ἐνῷ εἰς τοὺς Κώδικας ὡς εἰς τὸν ὑπ' ἀριθ. 53 τῶν Βλατέων καὶ ἄλλους εὕρηται ἡ ὀρθὴ γραφὴ «συνεπόμενον ἔχων καὶ τὸν ὑπερθαύμαστον Ἰουνίαν τῷ κόσμῳ ἤδη νεκρωθέντα καὶ τῷ Χριστῷ μόνῳ ζῶντα», ὡς τοῦτο μαρτυρεῖ καὶ τὸ τοῦ Χριστοφόρου τοῦ Μυτιληναίου δίστιχον:

Ἰουνίας [2] *τέθνηκεν μηνὶ Μαΐῳ*
ὃς πρῶτός ἐστιν εἰσιὼν Ἰουνίου.

